Τύπος φιλάνδρων γυναικῶν, τύπος καλῶν μητέρων.

ϞΒ΄.

Εἰς κοράσιον δύο καὶ ἡμίσεος ἐτῶν.

1859, Σεπτεμβρ. 8.

Μόλις ἡ παῖς θηλάσασα τὴν τῆς ζωῆς πικρίαν,
Ὡς μυσαχθεῖσ' ἀπέδραμε πρὸς τῆς ζωῆς τὸ πέρας·
Τριακοντάκις ζήσασα τριάκοντα ἡμέρας,
Ἀφῆκε πολυχρόνιον τῶν φίλτρων ἱστορίαν.
Ἐὰν πρὸς τὴν ἀνάπαυσιν μήπω καμοῦσα σπεύδῃ,
Πρὸς τί τῶν ὑπὸ κάματον αἱ ὑπὲρ τούτου λῦπαι;
"Θαρσεῖτε, τὸ κοράσιον, (ὁ 'Ιησοῦς προεῖπε)
„Θαρσεῖτε, οὐκ ἀπέθανεν, ἀλλ' ἐν ἐμοὶ καθεύδει.„



ΕΠΙΓΡΑΜΜΑΤΑ.

ΜΕΡΟΣ Β'.

Σ ύ μ μ ι κ τ α.

Α'.

Εἰς τὸν ἐν Κέῳ λελατομημένον λέοντα.

1842, *Αὐγούστου* 21.

Φεύγετ', ὀρεσκῷοι θῆρες τάχος, ἔξιτε χώρου·
'Ηνίδ' ἐπῶρτο ποσὶν κείμενος ὧδε λέων.
Καὶ τάχ' ἂν ἔστε νάπας, ἔς τ' οὔρεα ἦλθε λοχήσων,
Ἀλλὰ πέδας πετρίνας οὔ οἱ ἔλυσε γλυφή.

Β'.

Εἰς τὴν αὐτόθι ἐν τῇ Μονῇ τῆς ἁγίας Μαρίνης εὐωχίαν.

1842, *Αὐγούστου* 25.

Δαίνυσο, εὐοχοῦ, πίν', οὐ φθόνος· ἀλλὰ καὶ αὖθις
Ἴσχεο βῆμα, πέλας· σκέψαι ὃς ἀμφορέα.

Γ'.

Εἰς τὴν ἐν Τήνῳ προσκύνησιν τῆς Θεοτόκου τῆς Εὐαγγελιστρίας.

1842, *Σεπτεμβρίου* 8.

Σοὶ τούς δ' ἐπισπένδουσιν, ἁγνὴ Παρθένε,
Θερμῶν σταλαγμοὺς δακρύων ἱκέται σέθεν,

Τλήμονες, ἀλῆται, ψυχικῶν νόσων πλέῳ,
Οὓς δὴ ἀλάστωρ εἷλε καὶ ἔρως χθονὸς,
Κόσμου τ' ἀκόσμου οἶδμα, τριττοὶ δεσπόται.
Ἀλλ', ὦ μόνη Σώτειρα, σοὶ γάρ τοι πάρα,
Ἴλαθι, σῶζε πημάτων τὸν σὸν λεών.

Δ'.

Εἰς τὴν Δῆλον.

1842, *Σεπτεμβρ.* 11.

Τὴν ἱερὴν ἱκόμεσθ' ἁλιερκέα Δῆλον ἐρήμην
Ξεῖνοι πενθοῦντες πτῶμα τὸ Δηλιακόν.

Ε'.

Εἰς τὴν αὐτήν.

Δύσδηλε Δῆλος, ὡς ἄδηλος εἶ τανῦν!

ϛ'.

Εἰς τὸν ἀείμνηστον διδάσκαλον
ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΒΑΡΔΑΛΑΧΟΝ,
ποιηθὲν κατὰ τὸν ἀπὸ τῆς Πεπερίδος νήσου, εἰς ἣν ἐναυάγησε, παράπλουν ἡμῶν, τῇ 20 Αὐγούστου
1843.

Δέρκεο, ναυστόλε, τήν δε μέλαιναν, δέρκεο νῆσον,
Ἥ ποτε Βαρδαλάχον φῶτα ἀγακλύμενον,
Εγγενέσι σπεύδοντα ἀϊδροσύνην ἀπαμῦναι,
Ῥῆξε διὰ σκοπέλων μεσσατίῳ πελάγει.
Βῆ δ' ὁ μὲν ἐς μάκαρας νῦν, εὐσεβέων ἵνα χῶρος
Ἀστὴρ ὡς, φαενῆς Ἄγγελος εὐσοφίης·
Ὀστέα δ' ἄλλοτε ἄλλοσ' ἐπ' ἀκταῖς πουλυφόνοισι

Κλυσμοῖς ἐκβράσσει κῦμα παλιῤῥόθιον.
Σῶμα μὲν οὖν ἐν ὕδασιν ἐπόψιον εὕρατο τύμβον,
Οὔνομα δ' ἀεὶ μνῆμ' Ἑλλάδα πᾶσαν ἔχει.

Ζ'.

Εἰς τὸ ἐν Πειραιεῖ Λοιμοκαθαρτήριον.

1843, *Ὀκτωβρ.* 14.

Βαρβαρικῶν ἀπόπλυνε ῥύπων, ξένε, σῶμά τε, νοῦν τε.
Ἑλλάδος ὧδε πύλαι· εἴσιθι πᾶς καθαρός. *)

Η'.

Εἰς τὴν Ἀνθολογίαν Κωνσταντίνου Πρωτοψάλτου.

1845, *Ἰουνίου* 18.

Ὀρφεῖς μὲν καὶ Ἀμφίονες, Ἀρίωνες καὶ Λῖνοι,
Καὶ τῶν λοιπῶν σιγάτωσαν μελοποιῶν τὰ σμήνη·
Ἰδοὺ γὰρ ἐντετάνυσται κιθάρα σιωνίτις,
Ἐξ ἧς ἐκχέετ' ἄφατος, οὐράνιος γλυκύτης,

---

*) *Τὴν ἀτοπίαν τοῦ σκέμματος εὐφυῶς ἐλέγξαι βουλόμενος ὁ κλεινὸς Οἰκονόμος, καθαιρόμενος καὶ αὐτὸς ἐν τῷ αὐτῷ δωματίῳ, ὑπέγραψεν ἰδίᾳ χειρὶ ἐπὶ τῆς αὐτῆς θύρας τὰ ἑξῆς·*

«Ἢν δ' ἐπαναστρέψας βαίνῃς πάλιν Ἑλλάδος ἐκτός,
Βαρβαρικοῖσι ῥύποις σῶμά τε νοῦν τε χρανεῖς.»

Παρακληθεὶς δὲ ὑφ' ἡμῶν ἐσχεδίασεν αὐτὸς ἕτερον τόδε κάλλιστον ἐπίγραμμα·

«Οἶκος ὅδε κρατερὸς καὶ χάλκεος οὐδὸς ἐέργει
Ἑλλήνων ἀπὸ γῆς λοιμὸν ὀλεσσίπολιν·
Οἵδ' ἀπολυμαίνονται, πᾶς ξένος ἔκτοθεν ἥκων·
Αἴθε δὲ καὶ λοιμοὺς ἄνδρας ἀπεῖργε μακράν!»

Οὐ θῆρας τιθασσεύουσα, οὐ λίθακας κηλοῦσα,
Ἀλλὰ ψυχὰς εἰς οὐρανὸν ἐκ γῆς ἀνακαλοῦσα.
Τὰς δὲ νευρὰς συνήρμοκεν οὐ Τέρπανδρος, οὐ Λῖνος,
Ἀλλ' ἀοιδῶν ὁ φέριστος ἁπάντων Κωνσταντῖνος.
Πᾶσα λοιπὸν μελίγηρυς σειρὴν τῆς Ἐκκλησίας
Ὑμνολογείτω τὸν Θεὸν διὰ μολπῆς γνησίας.

Θʹ.

Εἰς Λαχεῖον.

1846, Μαρτίου 20.

Τυφλὸς κ' ἐγώ, τυφλὴ καὶ σύ, ὦ Τύχη, δὲν ἠξεύρω
Πῶς νὰ μὲ εὕρῃς ἠμπορεῖς, πῶς ἠμπορῶ νὰ σ' εὕρω.

Ιʹ.

Ἕτερον.

Τὸ ἆθλον περιμάχητον, πλὴν ἄδηλος ἡ τύχη·
Ἐπέτυχες; ἀπόλαυε· ἀπέτυχες; δυστύχει.

ΙΑʹ.

Ἕτερον.

Δός μοι, τύχη, δός μοι τὸ χαρτοφυλάκιον,
Ἢ κἂν δός μοι μόνον ἓν αὐτοῦ φυλλάκιον.

ΙΒʹ.

Εἰς τὴν ἐν Νεοχωρίῳ Σχολὴν τοῦ Κ. Κωνσταντίνου Ι. Ἰπλικτσῆ.

1846, Σεπτεμβρ. 14.

Καὶ τόδε Κωνσταντῖνος Ἰωάννου μέγ' ἀμύμων
Ἄνθετο Βοσποριτῶν παισὶ χαριζόμενος,

Οὔ νυ τι πρῶτον ὅγ', οὐ πύματον, οὐδ' ἐνθάδε οἷον
Μούσαις Ἑλλαδικαῖς δειμάμενος τέμενος.
Πᾶσα γὰρ Ἑλλὰς γῆ, τό τε κλεινὸν Κέκροπος ἄστυ,
Τηλόθι θ' ἑσπερίη τοῦδ' ἀρετὴν λαλέει.
Τοίην μουσοπόλοισιν ὀϊζυροῖσιν ἅμιλλαν
Ὄρνυσι πλουτοδοτῶν γηραλέαις παλάμαις.
Ἀλλ' ἄγετ' ἐνδαπίων εὐγνώμονες, εἴσιτε παῖδες,
Εὐσεβίην, ἀρετὴν, γράμματα μανθάνετε.

ΙΓ'.

Εἰς τὰς νήσους τῶν Πριγκίπων.

1848, *Ἰουνίου* 19.

Τέσσαρες ἀντιάουσι Προποντίδι εἰν' ἁλὶ νῆσοι
Μέσον Βύζαντος κ' Ἀστακινοῦ πελάγους·
Πρώτη μὲν, Πρώτη αἰπεινὴ παιπαλόεσσα·
Τὴν δὲ μετ', Ἀντιγόνη, νηυσὶν ἀκυμοτέρη
Χαλκῖτις τριτάτη δικόρυμβος, βωτιάνειρα,
Μουσάων ἱερὴ, μουσοπόλοισι φίλη·
Αὐτὰρ ἔπειτα τετάρτη εὐὔσκιος, ἀνθεμόεσσα,
Πασάων μείζων Πρίγκιπος ἠγαθέη·
Τῶν τις χαιρέτω ἄλλῃ, ὁ δ' ἄλλῃ· αὐτὰρ ἔμοιγε
Χαλκῖτις μούνη εὔαδε μουσοτρόφος.

ΙΔ'.

Εἰς τὴν ἐν Χάλκῃ ἱερὰν μονὴν τῆς Θεοτόκου.

1848, *Ἰουνίου* 20.

Θειοτόκοιο κόρης τέμενος τόδε κάλλεϊ λάμπον
Κόσμον μὲν Χάλκη ἔσχεν ἀριπρεπέα·
Βύζαντος δὲ πόλις, περικλυτὸν κουροτροφεῖον·
Πάντες δ' εὐσεβέες, πολυσέβαστον ἕδος.

Δείματο δ' αὐτὸ πρῶτον Ἰωάννης μέγ' ἀμύμων,
Ἐν γε Παλαιολόγοις δεύτερος Αὐτοκράτωρ·
Εἶτα δαμὲν πυρὶ, αὖθις ἓ δείματο Παναγιώτης,
Ἑρμηνεὺς ὁ μέγας κεῖνος ὁ Νικόσιος.
Ὡς δ' ἄρ' ἓ κάμψε χρόνος, τρίτον ἔκτισεν Ὑψηλάντης,
Δῖος Ἀλέξανδρος, φέρτατος ἡγεμόνων.
Ἀλλὰ, κόρη, κείνους καὶ ἐν μακάρεσί περ ὄντας,
Σῶζε τεῇ κρατερῇ, Παρθένε, προστασίῃ.
Τούς δε νυ παῖδας, ὅσοι σοφίην παρ' σοὶ ποθέουσι,
Καὶ πατέρας κ' ἐφόρους, φαῦσκε, φύλαττε, σάου.

ΙΕ'.

Εἰς Χουρμούζιον, χαρτοφύλακα τῆς Μ. τοῦ Χριστοῦ Ἐκκλησίας.

1848, *Ἰουνίου* 21.

Τίς Χουρμουζίου οἶδε τάφον τινὰ τοῦ μελοποιοῦ;
Ὦ Χάλκη, Χάλκη, ποῦ στέφανον σὸν ἔχεις;
Ἁγνὸς ἀκτερέϊστος, ἄτυμβος κεῖνος ὁ κλεινός!
Φεῦ, ὡς οὐδὲ θανεῖν ἄξιον εἶν' ἀσόφοις!

Ιϛ'.

Εἰς τὸ τοῦ Γένους Νοσοκομεῖον.

1848, *Ἰουνίου* 22.

Οἶκος ὅδε ξείνοισι καὶ ἀστοῖς ἀμπεπέτασται
Τῆς Βυζαντινῶν σύμβολον εὐσεβίης.
Πάντες, ὅσοι νούσοισι τετρύχεσθ' ἀργαλέησιν
Εἴσιθ' ὁμῶς οἴκῳ ὡς ἐνὶ ὑμμετέρῳ·
Ἔστι κλίνη φιλόφρων, ἰητήρ, νουσοκόμος τε,
Ἔστι πιεζομένοις φάρμακ' ἀλεξίκακα,
Τῶν καὶ ἀπαυράμενός τις νίσσεται ὅνδε δόμον δε
Εὔρωστος, λαλέων ζῆλον ἀδελφοσύνης.

ΙΖ΄.

Εἰς τὴν ΒΙΒΛΙΟΘΗΚΗΝ τῆς Θεολογικῆς Σχολῆς, ἐν τῇ κατὰ τὴν Χάλκην Μονῇ τῆς Ἁγίας Τριάδος.

1848, Ἰουνίου 23.

Ἠρέμα, βήματι κούφῳ ἰχνεύετε τόνδε πυλῶνα·
Οὐ θέμις ὧδε θροεῖν· ἱρὸς ὅδ' ἐστὶ δόμος.
Ἐνθάδ' ἀγηρέραται πολιόθριξ θεῖος ὅμιλος
Πάντων θεσπεσίων τῆς σοφίας Πατέρων·
Ὧδε χορὸς γεραρὸς ποιητῶν ἀμφὶ Ὁμήρῳ,
Ἀμφὶ δ' Ἀριστοτέλει φιλοσόφων θίασος.
Κεῖθι γεωμετρέει ἅμα τ' Εὐκλείδῃ Πτολεμαῖος·
Νουσολόγων δὲ ἄγει σύλλογον Ἱπποκράτης.
Ἐν δ' ἄρα Θουκυδίδαι, πολυΐδριες Ἡρόδοτοί τε
Καὶ Δημοσθενέων πρὸς Κικέρωνας ἔρις.
Γραμματικῶν δ' ἐντεῦθεν ὁμήγυρις ἀμφιπένονται
Κώδιξι, σχολίοις καὶ κριτικοῖς κανόσι.
Ἐν δὲ Θεοῦ σοφίης εἰδήμονες ἐνστιχόονται
Εὐσεβίης πολιῆς ἀκρέμονες μεγάλοι.
Τοῖον ἀριπρεπέα χορὸν ὧδ' ἤθροισε νέοισι
Χριστιανῶν τε Πατὴρ καὶ Θεοῦ Ἀρχιθύται.

ΙΗ΄.

Εἰς τὴν ΣΧΟΛΗΝ τοῦ ΚΟΥΡΟΥΤΣΕΣΜΕ.

1848, Ἰουνίου 24.

Τίς Ξηροκρήνην τήνδ' ἐξονόμηνε πολίχνην;
Ἦ μάλα κείνου ἔην ξηροτάτη κεφαλή!
Τῆσδε γὰρ ἐκ κώμης ἀέννaα νάματα χεῖται
Μουσοπόλοισι νέοις φέρτερα Κασταλίης.
Τοίην δωδεκάκρουνον ἔχει πηγὴν ἀγανόῤῥουν
Ἐν τεμένει Μουσῶν τῶν Ἑλικωνιάδων.

ΙΘ'.

Εἰς ΚΩΔΩΝΟΣΤΑΣΙΟΝ.

1848, *Ἰουνίου* 25.

Κωδώνων ἱερῶν ἀναδέδρομεν ὑψόθι πύργος
Ῥηγνύντων φθόγγον χείλεσι φρικαλέοις.
Κλύετε θεσπεσίην ἰαχὴν, ἔγρεσθε δὲ λαοὶ,
Ἀμφὶ νεὼν δὲ Θεοῦ δεῦτε προσευξόμενοι.

Κ'.

Εἰς τὸν ἀοίδιμον διδάσκαλον ΝΙΚΟΛΑΟΝ ΛΟΓΑΔΗΝ.

1848, *Ἰουνίου* 26.

Ἔφθισό μοι, Λογάδη, σοφὲ Μουσάων ὑποφῆτα,
Πληρώσας γαίην Ἑλλαδικῆς σοφίης·
Πόλλ' εἶπας, πλείω δ' ἔγραψας, πλεῖστ' ἐμόγησας
Καὶ χερὶ, καὶ γλώσσῃ, καὶ φρεσὶ, καὶ κραδίῃ.
Δεινὸν ἔρωτ' ἐνόσεις σοφίης πολιῆς θ' ἱερῆς τε,
Θεσπεσίης τ' αὐδῆς Ἑλλάδος εὐγενέος·
Οὐ χρόνος, οὐ καμάτων ἅλις, οὐδὲ μὲν ὄκνος ἀνέσχεν,
Οὐ πενίη στυγερὴ σὴν κεφαλὴν ζαθέην.
Βῆς δὲ μεταξὺ λέγων σοφὰ οὐρανὸν ἀστερόεντα,
Σῆς μελιχρῆς λαλιῆς ὀρφανὰ τέκνα λιπών.
Αἰὲν ἄλῃστος ἔσῃ καὶ ἀοίδιμος, ἔστ' ἂν ἡ Ἑλλὰς,
Μυρομένη γοερὸν σὸν πότμον, ὦ Λογάδη.

ΚΑ'.

Εἰς ΚΥΒΕΥΤΙΚΟΝ ΑΒΑΚΙΟΝ.

1848, Νοεμβρ. 30

Ὁ βίος τύχης παίγνιον· ὁ κόσμος ἄβαξ κύβων,
Τοὺς μὲν εἰς πέρας αἴσιον προάγων, τοὺς δ' ἐκθλίβων.
Τὸ κέρδος ἀπαιτεῖ τιμὴν καὶ φρόνησιν καὶ κόπον·
Σπανίως πίπτουσι δὶς ἓξ οἱ κῦβοι τῶν ἀνθρώπων.

ΚΒ'.

Εἰς Ἕτερον.

1848, Δεκεμβρ. 12.

Τὰς ὥρας τῆς ζωῆς σου διακυβεύων μάτην
Κερδαίνεις μὲν ζημίαν, σπουδάζεις δὲ ἀπάτην.
Παῖζε διάγων, φίλε, μὴ δίαγε δὲ παίζων,
Ὅπως ἐν τέλει εἴπῃς, οὐκ ἔπαιζον, ἀλλ' ἔζων.

ΚΓ'.

Εἰς τὴν ἐν Χάλκῃ ΔΗΜΟΤΙΚΗΝ ΣΧΟΛΗΝ.

1849, Μαΐου 15.

Τὸν δ' ἐρατῆς σοφίης περικαλλέα δείματο σηκὸν
    Δῆμος ὁ Χαλκινῶν, θαῦμα μέγ' ἐσσομένοις.
Τῆς γὰρ ὑπὲρ κραναῆς νήσου ἀέθλευσαν ἀγῶνα
    Μοῦσαι Κασταλίδες καὶ γλυκεραὶ Χάριτες.
Νίκησαν Μοῦσαι· ἡττηθείσαις δ' ἐπέειπον
    "Ἡμετέρη Χάλκη· μηκέτι νεικέετε!"
Τοὔνεκα προφρονέως εἰσέρχεσθ' ἐνθάδε πάντες
    Μουσοπόλοι παῖδες νήσου ἀγακλυμένης.
Καὶ ῥ' ἀποσεισάμενοι ὀλοὸν καὶ ἀνάλκιδα ὄκνον,
    Δεῦρ' ἴτε εὐμαθίης ἆθλον ἀποισόμενοι.

*

ΚΔ΄.

Εἰς τὴν **ΦΑΡΜΑΚΟΘΗΚΗΝ** *τῆς ἐν Χάλκῃ Θεολογικῆς Σχολῆς.*

1849, *Μαΐου* 23.

Νούσων ἀργαλέων πολυαλθέα φάρμακα ἔνδον,
Τῆς Ἀσκληπιαδῶν ἄρμενα εὐστοχίης.
Χόρτα τε πάντα, κόνεις τε, ὀποί τε, χυμοί τε,
Βδέλλαι θ' αἱμοχαρεῖς, ἰγδία τε, ζυγά τε.
Ἄλγεσι παντοδαποῖσι καὶ ἕλκεσι καὶ πυρετοῖσι
Ἄρκια οἶκος ἔχει ἔνδοθι κευθόμενα.
Μηκέτι κῆρα φοβεῖσθε τανηλεγέος θανάτοιο
Ὅσσοι τήνδε Μονὴν ἀμφιπολεῖτε νέοι,
Ἔνθα διπλῆν ὑγίην Θεὸς ἀθάνατος παρέθηκε
Σώμασι καὶ ψυχαῖς προῖκα καὶ ἀπριάτην.

ΚΕ΄.

Εἰς τὸ ἐν Χάλκῃ **ΠΟΛΥΑΝΔΡΙΟΝ** *τῶν Ῥώσσων αἰχμαλώτων, τῶν ἀποθανόντων τῷ ͵αωκθ΄.*

1849, *Μαΐου* 26.

Οἵδε τριηκόσιοι στρατιῶται Ῥῶσσοι ἁλόντες
Ἐκ Τούρκων, ἱεροῖς κείμεθα ἐν δαπέδοις·
Οὗ μέγας Αὐτοκράτωρ ἠρῷον ἐχώσατο τοῦτο,
Ὑσμίνης κρατερῆς ἔργα καλῶς νοέων.
Σώματα γάρ χείρωσεν Ἄρης μαλερὸς, πολυάϊξ,
Ψυχαῖς δ' ἀτρέστοις ἔσκεν ἐλευθερίη.
Ἡμετέρην δ' ἀρετὴν κηρύσσει εὔροος Ἴςρος,
Βάρνα τε, Δρύστρα τ', Ἀδριανοῦ τε πόλις.

Κϛʹ.

Εἰς τὸν ἀοίδιμον **ΠΡΟΥΣΗΣ ΧΡΥΣΑΝΘΟΝ**
ἐφευρετὴν τῆς νέας μουσικῆς μεθόδου.

1849, *Μαΐου* 30.

Πότμον ἀγακλυμένου Χρυσάνθου Ἀρχιερῆος
Ἔκλαυσαν Μοῦσαι σχασάμεναι κιθάρας·
Ὅς ποτε ἁρμονίης μελέων σοφὰ τέθμια εὑρὼν,
Ῥηΐδίην μολπῆς πᾶσι παρέσχε τέχνην.
Αὐτὰρ ὁ καὶ πτολίεθρα ἐκόσμησ' ἐμμελέως δὴν,
Δυῤῥάχιον, Σμύρναν, Προῦσαν ἀπ' ἐκ Μαδύτου·
Νῦν δ' ἄρ' ἐπουρανίῃσι χοροστασίῃσι χορεύει
Τὸν Θεὸν ἱλάσκων ᾄσμασιν ἡδυτέροις.

ΚΖʹ.

Εἰς τὸν ἱερὸν **ΑΜΒΩΝΑ** *τοῦ ναοῦ τῆς ἐν Χάλκῃ*
Μονῆς τῆς Ἁγίας Τριάδος.

1849, *Ἰουνίου* 5.

Χαῖρέ μοι ὑψιθρόνου Τριάδος πολυήρατε ἄμβων,
Βῆμα λόγων ἱερῶν, ῥητορικῆς ὀκρίβαν·
Σεῖο γὰρ ἐκ λαγόνος γεγέννηνται ἀριστοτόκοιο
Ῥήτορες ἀρτιεπεῖς θεσπεσίων λογίων·
Ὣς δ' ἀμφ' οἰωνῶν κρατερῷ Βασιλῆϊ πέτονται
Οὔρεος ἐκ κορυφῆς αἰετιδεῖς πολέες,
Τὼς σέθεν ὀρνυμένῳ ἐφάμιλλοι ἀμφὶ Τυπάλδῳ
Ἔσσυνται προθέειν κήρυκες ἡδυλάλοι·
Τοῖος ἐφίδρυται δή τοι τανυσίπτερος ὄρνις
Χρύσεος ὑψιπόρου σύμβολον ἐργασίης.

ΚΗ΄.

Εἰς τὸ ἐν **ΒΛΑΧΕΡΝΑΙΣ ΑΓΙΑΣΜΑ** *τῆς Ὑπεραγίας Θεοτόκου.*

1849, *Ἰουνίου* 9.

Πρὶν μὲν ἔην ναὸς Θεομήτορος ἀγλαὸς ὧδε,
Ἐγγύθι Βλαχερνῶν εὐκλεέων μεγάρων·
Ἀλλ' ὁ μὲν ἐκ θεμέθλων πάλαι ἤρειπται πυρίκαυστος
Δυσμενέων δηΐων οὐχ ὁσίαις παλάμαις·
Ὤλετο δὴ νῦν πᾶσα χάρις δόμου, εἴποτ' ἔην γε!
Τοῖον ἐφῆκε χρόνος πευκάλιμον βέλεμον.
Ὦ Κωνσταντίνου πόλις, ἄρτι δὲ λουτρὸν ἔμελλες
Μοῦνον ἔχειν κείνου ναοῦ ἀγακλυμένου.
Ἀλλὰ καὶ ὣς χαρίτων Θεομήτορος οὐκ ἐπιδεύῃ,
Ὕδασι βλυζομένων τοῦδε λοετροῦ ἄπο·
Ἐσσὶ γὰρ ἐσσὶ, φίλη πόλις, αἰὲν ἁγνῆς Θεόπαιδος,
Εἷς ὅκεν ὀρθοτομεῖς εὐσεβίην Πατέρων.

ΚΘ΄.

Εἰς τὸν ἀοίδιμον διδάσκαλον **ΝΕΟΦΥΤΟΝ ΔΟΥΚΑΝ.**

1849, *Ἰουνίου* 11.

Κλεινοῦ Νειοφύτου Δούκα πολιοῦ ἱερῆος
Οὔνομα μὲν γαίην πᾶσαν ὑπερδέδρομε·
Εὐφραδίῃ δὲ λόγων ἀκοὴν διελήλυθε πᾶσαν.
Βίβλων δὲ πληθὺς, τὰς κάμε, πλῆσαν ἄδην
Πάντα νομὸν, πάσας πτόλιας, δήμους τε καὶ οἴκους,
Πᾶσαν θ' ἡλικίην Ἑλλάδος εὐγενέος.
Σῶμα δὲ Ῥιζαρικῆς ἀμπαύεται ἔνδοθι αὐλῆς,
Εὐξέστῳ τύμβῳ ἀμφικαλυπτόμενον·
Ψυχὴ δ' οὐρανὸν εὐρὺν ἔβη μετὰ μάκαρας ἄλλους,
Ἀθανάτων ἀρετῶν ἆθλα κομιζομένη.

Λ'.

Εἰς τὴν περὶ τῶν **Ο' ΕΡΜΗΝΕΥΤΩΝ ΤΕΤΡΑΒΙΒΛΟΝ** *τοῦ σοφοῦ Οἰκονόμου.*

1849, *Ἰουνίου* 15.

Πρεσβυτέρων δεκάδες ποθ' Ἑβραίων ἑπτ' ἐπόνησαν
Ἐξελληνισμὸν θειογράφων σελίδων.
Πλεῦνες δ' ὕστερον ἄνδρες ἀφ' ἑσπερίης ἀνόρουσαν
Μαψίδιον θέσθαι πρεσβυτέρων κάματον.
Τοὶ μὲν ἀμετροεπεῖς ἐκολῴων· τοῖσι δ' ἀνέστη
Ἥρως Οἰκονόμος Πρεσβύτερος τελέθων,
Αἶψα δὲ τοὺς ἔῤῥαξεν ὅγε στιβαρῇς παλάμῃσι
Τέσσαρα ταῦτα βαλὼν τεύχεα εὐσεβίης·
Πιστοὶ δ' ἐῤῥώσαντο, ἐπεὶ ἴδον ἔκπαγλον ἀλκὴν
Ἡμετέροιο σοφοῦ, ἀντιβίων δὲ ἄτην.
Χαῖρέ μοι Οἰκονόμου νικηφόρος ἀθανάτη χείρ,
Δυσσεβίης ὀλέτειρ', εὐσεβέων πρόμαχε!

ΛΑ'.

Εἰς τὴν εἰκόνα τοῦ ποτὲ Καθηγουμένου **ΣΑΜΟΥΗΛ ΤΟΥ ΚΩΦΟΥ,** *ἀνηρτημένην ἐπὶ τοῦ πυλῶνος τῆς ἐν Χάλκῃ Μονῆς τῆς ἁγίας Τριάδος.*

1849, *Ἰουνίου* 15.

Εἰκὼν εἰμὶ Σαμουήλου, τάχθην δὲ πυλωρεῖν
Τήν δε μονὴν Τριάδος, τῆς ὅδε φρουρὸς ἔην.
Σιγὴν αὖθι κελεύω, ἀκὴν ἔσο, μηδὲ θυραύλει
Μουσῶν ἐν μεγάρῳ καὶ Θεοῦ ἐν τεμένει.
Εἰ δὲ Σαμουὴλ ἦν ὑπόκωφος, μή σε παρείπῃ·
Εἰκὼν γὰρ κλύω, πειθομένη γραφίδι.



ΛΒ΄.

Εἰς τὸν ἀοίδιμον Πρίγκιπα **ΔΗΜΗΤΡΙΟΝ ΜΟΥΡΟΥΖΗΝ.**

1849, Ἰουνίου 18.

Φέγγεα Μουρούζεω Δαματρίω Ἑλλὰς ἰδέσθαι
Παντᾶ παπταίνει, καὶ στυφελισδομένα,
Πᾶ μοι, φασὶ, φεραυγὲς ἐμὸν φῶς τ' ἀνορέα τε;
Πᾶ ποκα τῆνος ἔβα κλεινὸς ἀεθλοθέτας;
Οὔποκα σᾶς γλώσσας ἔτ' ἀκοισῶ εὔλαλον αὐδὰν,
Οὔποκα σᾶν χαρίτων δέξομαι ἀφθονίαν.
Ὤλετό μοι μελέᾳ καλὸς, ἁδὺς, φαίδιμος ἥρως,
Πιερίδων Μοισᾶν ἁγὸς ἀπώλετό μοι.
Πάντα δέ μοι Μουρουζαίω πάνυ πότμῳ ἀπηῦρον,
Δᾶμοι καὶ πτόλιες καὶ σοφίας ἔδεθλα.
Ἆ, ἆ, λῆγε γόων, καὶ τέτλαθι κηδομένα περ,
Ἴσχεο δὲ στοναχᾶν, κυδιάνειρα πάτρα·
Θνάσκει τοι Δαμάτριος οὐκ, ἀλλ' ὕπνον ἰαύει·
Ἁ δὲ σοφὰ τήνω γραγορέει μελεδών.

ΛΓ΄.

Εἰς τὸν ἐν Μακαρίοις Πατριάρχην Κωνσταντινουπόλεως **ΓΕΝΝΑΔΙΟΝ ΤΟΝ ΣΧΟΛΑΡΙΟΝ,** *κείμενον ἐν τῇ παρὰ τὰς Σέῤῥας ἱερᾷ Μονῇ τοῦ τιμίου Προδρόμου.*

1849, Ἰουνίου 20.

Ἧδε μὲν ἡ Προδρόμοιο Μονὴ τὴν πᾶς ἐπαείδει,
Ἡ πολιὴ μήτηρ Μακεδόνων ζαθέων.
Ἧδε δὲ Γενναδίου Πατριάρχεω, τοῦ κλέος εὐρὺ,
Νεκροδόχος λάρναξ ἀθανάτου φθιμένου.
Ὦ δειλαὶ γενεαὶ θνητῶν, χρονίη τε κάκωσις,
Καὶ μοίρη στυγερὴ Χριστιανῶν προτέρων!

Βαιὸν καὶ μόγις εὕρατο χοῦν, ὃς πᾶσαν ἐπῆλθε
Γῆν ἀρετῇ, σοφίῃ, εὐσεβίῃ, καμάτοις.
Ἀλλὰ καὶ ὧς ἐνθένδε μάκαρ νεκρὸς τετρααίων,
Ἀντιβίους ἄγχει, ῥώννυσι δ' ἐμφυλίους.

ΛΔ'.

Εἰς τὸν ἐν τῷ ναῷ τῆς Ἁγίας Σοφίας ἀποθανόντα καὶ δι' ἱερέως ἐκκομισθέντα ΧΡΙΣΤΙΑΝΟΝ ΤΕΚΤΟΝΑ.

1849, *Ἰουνίου* 24.

Εἰ τὸ θανεῖν καλῶς ζηλωτὸν ἐν ἀνθρώποισιν,
Οὔ τις τοῦδε νεκροῦ βελτίον' εὗρε πότμον.
Τέκτων μὲν γὰρ ἔην, εἰργάζετο δ' ἔνδοθι ναοῦ
Κείνου τοῦ μεγάλου τῆς Ἁγίης Σοφίης·
Καὶ ῥ' ἀπολισθήσας πέσεν ὕπτιος ὑψόθεν ἄφνω,
Ψυχὴ δ' ἐκ ῥεθέων οὐρανὸν εἰσανέβη.
Ἀμφὶ δέ μιν λιβάνου εὐώδεος ὦρτο ἀϋτμὴ
Καὶ λαμπὰς ἥφθη ἔνδοθι τοίου ἕδους·
Ἐν δ' ἱερεὺς ἐκέκλητο Θεὸν μέγαν ἄγχυ παραστὰς,
Ἑλλαδικῇ φωνῇ δόγμασι δ' ὀρθοτόμοις.
Θαῦμα τόδ' ἐμφανὲς, ὀψὲ Θεὸς πόρε νῦν μετὰ μακροὺς
Τέσσαρας αἰῶνας ἀλλοθρόου λατρίης.
Τοῖον ἐμήσατο τύμβον ἀοίδιμον εὖ μάλα τέκτων,
Ἐν ναῷ Σοφίης πνεῦμα Θεῷ παραθείς.

ΛΕ'.

Εἰς τὴν σοφὴν δυάδα ΕΥΓΕΝΙΟΝ *τε τὸν* ΒΟΥΛΓΑΡΙΝ *καὶ* ΝΙΚΗΦΟΡΟΝ *τὸν* ΘΕΟΤΟΚΗΝ.

1849, *Ἰουνίου* 27.

Ἑπτὰ μὲν ἔσχε σοφούς ποτε μήτηρ πότνια Ἑλλὰς,
Εἶτα λόγων πενίης ἀμφεκάλυψε νέφος·

Ὀψὲ δ' ἄρ' αὖτε Θεὸς δοιὼ μέγ' ἀμείνονας ὦρσε
Εὐγένιόν τε μέγαν, Θειοτόκην θ' ἱερόν.
Ἄμφω ὁμῶς γεραρούς τε, σοφούς τε, ἐπωφελέας τε,
Κέρκυρα δ' ἀμφοτέρων πατρὶς ἀριστοτόκος.
Ὡς δ' ὅτε νύκτα δι' ὀρφναίην, χειμῶνος ἐν ὥρῃ,
Οἴδματι μαινομένῳ πόντος ἐπιβρέμεται,
Αἶψα δὲ ποντοπόροισι σαωτῆρες δύο ἦλθον,
Ἄστρα Διοσκούρων, ῥεῖα δ' ἔθεντο πλόον,
Ὡς καὶ τοὶ ἀστῆρσιν ἀλίγκιοι αἶψα φάανθεν,
Ἐκ δ' ἐσάωσαν ἄχνῃ Ἑλλάδα πλαζομένην.
Ἄψοῤῥος δ' ἀνέκαμψεν ἀπεκφύζης ἀλεγεινῆς,
Ἰθαγενοῦς σοφίης παμφανόωσα χάρις.
Εἰ δέ τις ὀψιγόνων σοφίη ἐσθ', ὡς ἔσεταί περ,
Εὐγενίου τὸ κλέος, Θειοτόκου τὸ γέρας.

Λϛ΄.

Εἰς ΑΤΜΟΠΛΟΙΟΝ.

1849, Ἰουνίου 30.

„Ὦ πόποι! ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι!„
Τὴν δ' ἂν νῆα ἰδὼν θεῖος Ὅμηρος ἔφη.
Οὔτε γὰρ ἱστία μακρὰ πετάννυσιν, οὐδὲ μὲν οὖρον
Αἰόλου ἐκδέχεται ἴκμενον, ὥστε πλέειν·
Ἀλλὰ τροχοῖσιν ἁλὸς διαπρήσσει ὑγρὰ κέλευθα
Ἠΰθ' ἅμαξα θοὴ ἀτμῷ ἐλαυνομένη·
Θεῖ δὲ μάλ' εὐπετέως, ὡσεὶ πτερὸν ἠὲ νόημα
Ἀντιπνόων ἀνέμων οὐκ ἀλεγιζομένη.
Ἦ μέγα πάντως θαῦμα τόδ' ἀνθρώποισιν ἐτύχθη,
Μηχανικῆς σοφίης ἔργον ἐρισθενέος!

ΛΖ'.

Εἰς τὸν μαρτυρικῶς ἀπαγχονισθέντα ἁγιώτατον **ΠΑΤΡΙΑΡΧΗΝ ΚΥΡΙΛΛΟΝ** *τὸν Δ'.*

1849, 'Ιουλίου 1.

Λείψανον ἀρχιθύτου τόδε, κυδαλίμοιο Κυρίλλου
Οὐ χατέει τύμβου, ἀλλ' ἱεροῦ τεμένους.
Ἶσα γὰρ ἀρχεγόνοις πατράσιν ἐὼν Πατριάρχης
Ηὔγασε, καὶ σοφίῃ, χ' ὁσιότητι βίου·
Ἶσα δὲ μαρτύρεσιν κρατεροῖσιν ἄριστ' ἀέθλευσεν,
Μαρτυρικῷ στεφάνῳ στεψάμενος κροτάφους.
Ὦ κρυεροῖο μόροιο, τὸν εὕρατο ἤματι κείνῳ!
Ἀλλ' ὢ καὶ δόξης, τὴν χρόνος οὐκ ὀλέσει.
Πρῶτα κρεμασθεὶς, εἶθ' Ἕβρον εἰσδὺς, εἶτα δὲ τύμβον,
Ἠέρα, ῥεῖθρα, γέην, πάντα καθηγίασε.
Καὶ νῦν ἐν μακάρεσσιν ὁ κύδεϊ γαίει, ἡ δέ νυ λάρναξ
Παλλάδιον μίμνει Ἀδριανουπόλιος.

ΛΗ'.

Εἰς τὸ **ΕΣΤΙΑΤΟΡΙΟΝ** *τῆς ἐν Χάλκῃ Θεολογικῆς Σχολῆς.*

1849, 'Ιουλίου 3.

Οἶκος ὅδε κλισίης ἔστ' ἔκτυπον Ἀβραμιαίης,
Δημοτελῆ ξενίην πᾶσι χαριζόμενος.
Δεῦρ' οὖν πλήσατε πάντες, ἐπὴν κεκάμητε πονεῦντες,
Ἐνδάπιοι, ξεῖνοι, γαστέρα πειναλέην.
Πᾶσι τράπεζα λιτὴ μὲν, ἀφειδὴς δ' ἐντετάνυσται·
Πᾶσιν ἐΐσση δαὶς ἀμφὶς ἀγειρομένοις.
Ὃς δὲ κ' ἀτασθαλίης ἐπιτέρπεται, ἔνθεν ἀπέστω·
Κηφῆνας σίμβλη οὐ φιλέει τρεφέμεν·
Ἐκ δὲ καὶ οἴνου εἴργνυται πόσις· οὐ γὰρ ἔοικε
Μούσαις νηφαλέαις Μαινάσιν ὡς μεθύειν.

ΛΘ'.

Εἰς τὴν **ΕΙΚΟΝΑ ΤΟΥ ΑΓΙΟΥ ΠΡΟΚΟΠΙΟΥ,**
ἀφιερωθεῖσαν εἰς τὴν μονὴν τῆς ἁγίας Τριάδος
παρὰ τοῦ Μητροπολίτου Σωζουαγαθουπόλεως.

1850, *Σεπτεμβρ.* 8.

Οὐ χρὴ τὸν προκοπῆς σε φερώνυμον ἔνθεν ἀπεῖναι
Οὗ προκοπῆς δσίης ἔστι νέοισι πόθος.
Τοὔνεκα δὴ τεὸν εἶδος ἀριπρεπὲς ἄνθετο πρόφρων,
Ἀρχιθύτης σε φέρων κλήσεϊ καί τε νόῳ.

Μ'.

Εἰς τὰ **ΠΡΟΠΥΛΑΙΑ** *τῆς ἐν τῷ Ἁγιωνύμῳ*
Ὄρει τοῦ Ἄθωνος ἱερᾶς βασιλικῆς καὶ σταυροπηγιακῆς
Μονῆς τοῦ **ΞΗΡΟΠΟΤΑΜΟΥ.**

1852, *Ἰανουαρ.* 14.

Σκηνὴν τήν δε Θεοῖο Ἀθωνίδα πήξατο πρώτη
Κλυτὴ Πουλχερίη, εἵνεκεν εὐσεβίης·
Εἶτα δ' ἐφετμαῖς Παύλου ὁμαίμονος, οὗ κλέος εὐρὺ,
Καίνισε, θαῦμ' ἐσορᾶν, Ῥωμανὸς Αὐτοκράτωρ.
Ἐκ δ' ἄρα τοῖο Μονὴν Ξηροποτάμου καλέουσι,
Σῆμ' ἀπολειβομένων ἀκροτόμου ναμάτων.
Παρ' δὲ πύλῃσι νέον τάδ' ἐνώπια παμφανόωντα
Δείματο σεμνοτρόπων δῆμος ἔνοικος ὅσος.
Ξεῖνε, σὺ δ' εἴσιθι, λαμπρὸν ἀμείψας λάϊνον οὐδὸν,
Τεσσαρακονταρίθμοις Μάρτυσιν ἦρα φέρων.
Τῆλε δ' ἀπόστιχε, κῆρ' ἀλεείνων, ὅστις ἀλιτρὸς,
Εἰ Σταυρὸν τρομέεις φρουρὸν ἀλεξίκακον.

ΜΑ'.

Εἰς τὴν ΙΝΔΙΚΗΝ ΑΛΛΗΛΟΓΡΑΦΙΑΝ.

1852, *Ἰανουαρ.* 16.

Ἰνδῶν μὲν Γαλανὸς μετενείκατο Ἑλλάδι γνῶσιν·
Ἰνδοῖς δ' Ἑλλήνων Γρηγόριος σοφίην.
Ἑλλάς, κύδιμός ἐσσι διδοῦσά τε δεχνυμένη τε·
Ἄλλοι πλουτούντων, σὺ δ' ἄφενος τὸ κλέος.

ΜΒ'.

Ἕτερον.

Οὐκ ἄρα τοῦ γε κλέος μετόπισθ' ἀπὸ πάμπαν ὀλεῖται,
Ὅς κε θεοφρονέων, ἐσθλὸς ἔῃσι φίλοις.
Τῷ καὶ Γρηγορίου τοῦ Σιφνόθεν Ἑλλάδ' ἀν' ἱρὴν,
Ὀψὲ μὲν, ἀλλ' ἔμπης οὔνομα κῦδος ἔχει.
Οἷον γὰρ δὴ ἔτλη καὶ ἤνυσεν εὐσεβὲς ἔργον
Παρθέμενος ψυχὴν κὴν χθονὶ κὴν πελάγει.
Ἔνθ' Ἕλλην Ἰνδοὺς μετεκίαθεν ἐσχατόωντας,
Ἀλλοθρόους φωνὴν, νήϊδας εὐσεβίης·
Ἔνθ' ἱεροῖσι λόγοις ἴθυν' ὁμοπάτριδα δῆμον,
Ἀντιπνόοις αὔραις πάγχυ σαλευόμενον.
Ἀλλ' ὁ μὲν οὐρανίωσι μέμικται· ἥδε δὲ βίβλος
Τοῦδ' ἱερὴν σοφίην καὶ καμάτους λαλέει.
Τὴν καὶ λαζύμενος, φίλε, ἴσθι χάριν Χρυσάνθῳ,
Ποιμένι Θρηϊκίης, ὃς πόρε προῖκα τάδε. *)

---

*) *Τρία ἕτερα ἐπιγράμματα εἰς τὴν αὐτὴν βίβλον, προσενεχθέντα ὑπὸ τριῶν τριφιλίτων ἡμῖν διδασκάλων, Ἀντωνίου Χαριλάου τοῦ Λεσβίου, Λεάνδρου Ἀρβανιτάκη τοῦ Σιφνίου, καὶ σοῦ, ἀείμνηστος καὶ μακαρία φι-*

ΜΓ'.

Εἰς τὴν **ΕΙΚΟΝΑ ΤΗΣ ΘΕΟΜΗΤΟΡΟΣ** *καὶ τῶν ἁγίων* **ΦΙΛΙΠΠΟΥ** *τοῦ Ἀποστόλου καὶ* **ΔΗΜΗΤΡΙΟΥ** *τοῦ Μυροβλύτου, ἀνατεθεῖσαν ὑπὸ Διονυσίου Ἱεροδιακόνου Χαριτωνίδου, σωθέντος ἀπὸ λῃστῶν τῇ τούτων βοηθείᾳ.*

1855, *Μαρτίου* 20.

Λῃστρικῆς στόμα μαχαίρας φυγὼν ἐκ θαύματος μόνος,
Τοῖς λυτρωταῖς διὰ ταύτης εὐγνωμονῶ τῆς εἰκόνος.
Ἀλλ' ὦ παρθένε! σὺν τοῖς δε τοῖς στρατιώταις Κυρίου
Καὶ ψυχοκτόνου λῃστείας τὸν σὸν θεράποντα ῥύου.

λότης, Κωνσταντῖνε Εὐθυβούλη, μετατυποῦμεν ἐνταῦθα χάριν τῆς φιλοκάλου νεολαίας.

Α'. — ΑΝΤΩΝΙΟΥ ΧΑΡΙΛΑΟΥ.

„Πολλὰ ἐπ' εὐσεβίῃ ἱερεὺς ἐμόγησεν ἀμύμων,
Κλεινὸς Γρηγόριος Σίφνου ἀπ' ἀμφιρύτης.
Ὅς τε ἐθελημὸς ὑπὲρ μέγα πόντου λαῖτμα περήσας,
Ἰνδῶν τηλεδαπῶν ἤλυθε γαῖαν ἔσω,
Ἔνθα ὅγ' εὐσεβέων Χριστοῦ κατὰ τέθμια λαὸν,
Ἴθυνεν σοφίῃ ἐσθλὸς ἐὼν σφι πρόμος.
Ἦ ῥα ἑεῖο ποθὴ κατὰ Γάγγην ἤματα πάντα·
Ἠδ' ἀγαθὴ μνήμη πᾶσι μετ' ἐσσομένοις.„

Β'. — ΛΕΑΝΔΡΟΥ ΑΡΒΑΝΙΤΑΚΗ.

Ἑλλάδος ἐκ γαίης Σίφνου ἄπο παιπαλοέσσης,
Ἀγλαὸν ὡς ἔρνος βλάστεν ὁ Γρηγόριος.
Ἱερεὺς δ' ἀθανάτοιο Θεοῦ γεγαὼς ἐκέκαστο
Παντοίαις ἀρεταῖς ἠδ' ἱερῇ σοφίῃ.
Πολλὰ ἑῆς ἀποτῆλε πάτρης ὅ δ' ἔοργε πάθεν τε,
Ψυχῆς οὐκ ὀλίγων εἵνεκεν ἀτρεκίης.

ΜΔ'.

Ἐπὶ τοῦ ΣΤΑΥΡΟΥ,
ὃν προσήνεγκα τῇ Κ. Ἑλένῃ Ἀντωνοπούλου.

1857, *Ἰανουαρ.* 30.

Τὸν Σταυρὸν Ἑλένη ἄλλη, σὲ δ', Ἑλένη, ὁ Σταυρὸς
Ἄλλον ἑαυτοῦ εὑρίσκει θησαυρὸν ὁ θησαυρός.

ΜΕ'.

Εἰς τὴν ὑπὸ τῆς Κ. Σοφίας Καραθεοδωρῆ ζωγραφηθεῖσάν μοι ΕΙΚΟΝΑ ΝΕΚΡΑΣ *τῆς ἀειμνήστου φίλης μοι Αἰκατερίνης Δοσίου, τὸ γένος Μαυροκορδάτης.*

1857, *Μαΐου* 12.

Τὴν πάρος ἐν σοφίῃ περίφαντον ἀν' Ἑλλάδα μέσσην,
Παντοίων τ' ἀρετῶν ἄνθεσι βριθομένην,
Χεὶρ Σοφίης ἔγραψεν, ὅτ' ἔφθιτο, Αἰκατερίναν,
Μητροκασιγνήτην, τὴν Δοσίου ἄλοχον.

Ἄστυ τὸ Βύζαντος τηλουρόν τ' αὖ πέδον Ἰνδῶν
Γρηγόριου οἶδεν κυδαλίμους καμάτους.
Ἔς τ' ἐπ' ἐκεῖνα γὰρ ἦλθ' ἐρατεινῆς πείρατα γαίης,
Χριστὸν κηρύσσων, εὐσεβίης προμαχῶν.
Παῦρα δὲ γράψας κάλλιφ' ἄκεν συναπέφθιτο πάμπαν,
Εἰμὴ νῦν γε φόως δ' ἤγαγε Ταντιλίδης.

Γ' — Κ. ΕΥΘΥΒΟΥΛΟΥ, ΕΙΣ Α. ΓΑΛΑΝΟΝ.

Βαρβαρικὴν σοφίην διζήμενος ἔκτοθι πάτρης,
Ἦλθες ὁδὸν δολιχὴν ἀργαλέην τε μάλα,
Ὦ Γαλανὲ, Βραχμᾶσι δ' ὁμίλεες ἠΰτε Βραχμάν·
Νῷ δὲ συνῆσθ' αἰεὶ Ἑλλάδος ἐνναέταις.
Σοῖο δ' ἕκητι λάχεν κλέος Γρηγόριος θεοκήρυξ,
Ὅς τ' ἐσάωσε πρόφρων ἴχνια σῆς γραφίδος.
Σφῶν δ' ἔπε' ἀμφοτέροιϊν ἀνὴρ προέηκε φόως δε,
Φωτὸς, φεῦ, χατέων, Ἀρχιθύτου δαπάναις.

Ὦ κεφαλὴ κείνης γε καὶ ὄμματα σεμνὸν ὁρῶντα,
Χείλεα θ' ἡδυεπῆ, καὶ χέρες ὀξυγράφοι,
Ἤθεα θ' ἱμερόεντα, ἔρως δέ τε πατρίδος αἰνὸς,
Καὶ τλήμων κραδίη καὶ νόος ὑψιβάμων.
Αἴθε σε μήποτ' ἔγνων, μεγαλῆτορ, πότνα γυναικῶν,
Ἐκ λεχέων γεγονὼς ἢ τυφλὸς ἠὲ νέκυς!
Νῦν δὲ, φίλη, κλάω σε τανηλεγέ' ὕπνον ἔχουσαν,
Ἀντὶ σοφῆς ἔμπνου, εἰκόν' ἄπνουν σοφίης.

Μς'.

Εἰς τὸν ἀοίδιμον διδάσκαλον **ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΟΙΚΟΝΟΜΟΝ.**

1857, *Μαΐου* 24.

Θειοτέρης σοφίης ἡγήτορα ἀνδρομέης τε,
Ῥήτορα ἡδυεπῆ, τέκτον' ἁβρῶν μελέων,
Εὐσεβίης μέγ' ἔρεισμα, ὑπείροχον Ἑλλάδος εὖχος,
Κωνσταντῖνον ἄπνουν μνῆμ' ἔχει Οἰκονόμον.
Αἲ τὰν Ἑλλάδα! οἷον ἐποιχομένῳ πατρὶ τῷδε
Δάκρυσι μηδαλέα λυγρὸν ἐπιστενάχει!

ΜΖ'.

Ἕτερον.

Τὸν κήρυκα Θεοῖο καὶ ὄβριμον ἐν προμάχοισιν
Εὐσεβίης Πατέρων καὶ σοφίης προγόνων,
Ἔκπαγλον Οἰκονόμον, πολυήρατον Ἑλλάδος εὖχος,
Τῇδε κέκευθε κλυτὸν Κέκροπος ἄστυ νέκυν.
Καὶ ῥ' ὁ μέγας πέπτωκε, μεμυκὼς χείλεα σιγῇ,
Καὶ πίστις στοναχεῖ καί τε πατρὶς πότνια.
Τοὶ δὲ γεγήθασιν, ὅσοι ἀνάρσια μηχανόωνται,
Ἐλπόμενοι ῥήξειν ἡμετέρην γενέθλην.
Ἔγρεο, θεῖε πάτερ, λαοὺς δέ τε σῶζ' ἐπὶ πέτρης
Χριστοῦ, ἀντιβίων δ' ὕβριν ἀποσκέδασον.

ΜΗ΄.

Εὕδεις σοῖς κροτάφοισιν ἐγέρσιμον ὕπνον ὀπάσας,
Πλεῖστα καμὼν βιότῳ, κύδιμε Οἰκονόμε.
Ὦ κλεινῶν καμάτων, τοὺς πίστιος εἵνεκ' ἀνέτλης,
Καὶ χερὶ καὶ γλώσσῃ καὶ φρεσὶ μαρνάμενος!
Ἀλλ' ἡ μὲν δὴ ζῇ καὶ στήσεται αἰὲν ἄσειστος,
Σεῦ δ' ἤμυσε γέῃ, κρᾶτα βαρυνόμενον.
Καὶ δὲ λόγοι μετόπισθε λαλήσουσ', οὓς κάμες αὐτός.
Αἴ, σὺ δ' ἔσῃ σιγῶν, ὦ πολυφωνότατε!
Μὴ σύ γε, πρέσβυ· Θεῷ δὲ σὺν οὐρανίωσι παρεστὼς,
Ἀθανάτῳ γλώσσῃ λίσσεο ἀμφὶ πάτρης.

ΜΘ΄.

Ἕτερον.

Ὑψοῦ, αἰετὸς ὥς, Ἐκκλησίῃ ὄρνυτο μέσσῃ
Οἰκονόμος κλάζων θέσφατον ἀγγελίην·
Δέργματι δ' ὀξέϊ, εἴ που ἐσαθρήσειε δράκοντας,
Ἥρει ἐφιπτάμενος, ῥύετο δ' ἐκ δακέων.
Νῦν δ' ἀλλ', ὠκέαν ἀμπετάσας πτέρυγ' ἀμφοτέρωθεν,
Ὄρνις ὁ θεῖος ἄφαρ ἔπτατ' Ὄλυμπον ἄνω.

Ν΄.

Ἕτερον.

Οἰκονόμος σιγᾷ· κέκμηκε δ' ἄρ' ἀκαμάτη χείρ.
Ἐσβέσθη δ' ὁ λύχνος. Χαίρετε, νυκτιλόχοι!

ΝΑ΄.

Ἕτερον.

Τεύχεα Οἰκονόμου σοφίης πόλλ' ἦλθ' ἐπὶ γαίης·
Νῦν δ' αὐτός γ' ἐκδοὺς, οὐρανῷ ἐξεδόθη.

ΝΒ′.

Ἕτερον.

Οἰκονόμου φθιμένοιο, τίς Οἰκονόμου ἐπὶ τύμβῳ
Εἴρειν τολμήσει γράμμ' ἐπιτυμβίδιον;
Οὐ χατέει κεῖνος γ' ἐπιγράμματος· ἀντὶ δὲ πάντων
Τοὔνομα Οἰκονόμου θὲς ψιλόν· εὖ γὰρ ἔχει.

ΝΓ′.

Ἕτερον.

Κωνσταντίνου ἐκείνου ὁρᾷς τάφον Οἰκονόμοιο!

ΝΔ′.

Ἕτερον. *)

Ὤμοι ἐγώ! τί πάθω; τί μοι ἄλγεος ἔσεται ἄκος,
Χήτει Οἰκονόμου λυπρὸν ἄγοντι βίον;

---

*) Πεποιήκασιν εἰς Οἰκονόμον ἐνθάδε, Λέανδρος μὲν Ἀβρανιτάκης τοδί·

Τὸν σοφίῃ προὔχοντα καὶ εὐσεβίῃ περίβωτον
'Εν βουλῇ πινυτὸν φέρτατον εὐεπίῃ,
Πολλὰ μὲν Οἰκονόμον πατρὶς Ἑλλὰς κλαῦσε θανόντα
Τῇ περ ἔην ἄμφω, πλοῦτος ἠδὲ στέφανος.
Κλαῦσε δ' ὁμῶς στενάχοντα μόρῳ ἐπὶ δακρύεντι
Εὐσεβέων πάντων φῦλα πολυσπερέων.
Οὐδὲ γὰρ Ἑλλήνων παισὶν μούνοις μέγ' ὄνειαρ,
Πᾶσι δὲ εὐσεβέσιν κεῖνος ἀνὴρ ἔπλετο.

Μνήσομαι οὐδὲ λάθωμαι ἀποιχομένοιο γέροντος,
Πατρὸς μειλιχίου, ἡγεμόνος βιότου.
Ὦ πάτερ, ἀλλὰ δέχευ μ' ἀκορέστως, τηλόθεν ἐκ γῆς,
Ἐκ βλεφάρων δνοφερῶν θερμὸν ἱέντα δάκρυ.
Ἆσθμα τόδε στέρνων σέο παιδὸς Ταντalίδαο,
Δὶς τυφλωθέντος σεῦ ἕνεκ' ὀρφανίης.

ΝΕ'.

Εἰς τὸν ἐν ΧΑΛΚΗι ΝΑΟΝ τοῦ Ἁγίου ΝΙΚΟΛΑΟΥ.

1857, Μαΐου 29.

Τόν δέ σοι ὑψιμέδοντι Ἄνακτι ναὸν ἀνέθηκε
Δῆμος ὁ Χαλκινῶν, κάλλεϊ λαμπόμενον.
Ἀλλὰ σύ γ' οὐ χατέεις δόμου· ἐσσὶ γὰρ οὐ περιληπτὸς,
Οὐρανὸν ἠδὲ γέην ἀμφὶς ἔχων παλάμαις.
Εἷς δόμος, ἕν τοι ἕδος, χάριεν, καλὸν, ἄρκιον, ᾗ φῄς,
Ἄσπιλος εὐσεβέων καὶ καθαρὴ κραδίη.
Τῷ τοι ναὸν τόν δε θαμίζομεν ὥς τε λοετρὸν
Σμήχοντες ψυχὰς καὶ καθαγνιζόμενοι.

Ἀντώνιος δὲ ὁ Χαρίλαος τάδε.

Εἴγε νόμῳ εἴκων πυμάτην ὑπεδύσεο σιγὴν,
Κωνσταντῖνε βροτῶν ἄμβροτε Οἰκονόμε,
Οὐ μὰν σεῖο κλέος σιγήσεται, εἰσόκεν ἠὼς
Χώρῃ ἐπαντέλλῃ Ἑλλάδος ἠγαθέης.
Αὐτὰρ ὁ κλείει μυριετὴς χρόνος ἄφθιτον αἰὲν
Σὴν θείην ἀρετὴν καὶ σοφίην μεγάλην.
Χώρῳ δ' ἐν Μακάρων ἐναλίγκιος ἀστέρι λαμπρῷ
Λάμψεις στέμμα φέρων, κλεινὲ, παρ' Ἀθανάτου.

Ἕτερον.

Ἠδ' ἱερῆς σοφίης Πρύτανιν κατὰ γαῖα μέλαινα
Κωνσταντῖνον ἔχει τὸν μέγαν Οἰκονόμον.

*

Ὦ μάκαρ, ἀλλ' ἐθέλεις θεραπόντεσιν ἔνδοθι ναίειν
Νικόλεω θείου εὔγμασι καμπτόμενος. *)

Νς'

Ἐπὶ τοῦ **ΣΤΑΥΡΟΥ,** *ὃν προσήνεγκα τῇ φίλῃ Ζωῇ Βαλτατζῇ δῶρον γαμήλιον.*

1857, *Μαΐου* 19.

Σταυρὸν, σύμβολον τοῦ ξύλου τῆς ζωῆς, ὡς νύμφῃ, προῖκα
Ἡ φιλία σοι προσφέρει, ὦ Ζωή, ἐν τούτῳ νίκα!

ΝΖ'.

Εἰς τὴν ἐν Μαδύτῳ **ΓΑΙΤΑΝΑΚΕΙΟΝ ΣΧΟΛΗΝ.**

1857, *Σεπτεμβρίου* 21.

Τοῦτό τοι, ὦ Μάδυτος, πάτρα φίλη, ὀλβιόδωρε,
Δείματο σὸς γενέτης Γαϊτανάκης Στέφανος,
Ὀρθονόου σοφίης μέγαρον καλὸν, εὐρυθέμεθλον,
Φαῖνον ἀπ' Εὐρώπης γείτονα εἰς Ἀσίην.
Ἔργον δ' εἴργασται μέγ', ὅου κλέος οὔποτ' ὀλεῖται,
Ἔς τε ῥέων Ἕλλης πόντος ἐπιβρέμεται.

---

*) *Ἐγκεχάρακται ἐπὶ τῆς ἐνδοτέρας τοῦ Ναοῦ πύλης· ἐπὶ δὲ τῆς ἐξωτέρας φέρεται τὸ ἑξῆς, ποιηθὲν ὑπὸ Λεάνδρου Ἀρβανιτάκη.*

Νικόλεω μάκαρος, Χριστοῦ θεράποντος ἐῆος
Πιστοῖς ὃς τελέθει φρουρὸς ἀλεξίκακος,
Νηὸν τόνδε πάροιθεν ἐρεμνὸν πουλυέτηρον,
Νήσου ἀγακλυμένης καίνισαν ἐνναέται,
Ἀγλαὸν, ὑψιμέλαθρον, ἀρωγῇ φραδμοσύνῃ τε
Οἰκοδόμων ἀρχοῦ δειμάμενοι Στεφάνου.
Εἰ δ' ἄγε εἴσιθι πᾶς Χριστοῦ λάτρις παμμεδέοντος·
Στῆθι δὲ εὐφημῶν, λίσσεο τ' ἐσθλοδότην.

Ὦ, ἴτε Θρηϊκίης μεγαλήτορες, ὤ, ἴτε, κοῦροι,
Γαϊτανάκειον ἕδος τοῦτ᾽ ἐπιοψόμενοι,
Ἔνθ᾽ ὅγε τερψάμενος νεῖται καὶ πλείονα εἰδὼς,
Ψυχοτρόφου σοφίης τὸν στέφανον φορέων.

ΝΗʹ.

Εἰς τὰ ΚΕΛΛΙΑ τὰ ὑπὸ ΘΕΟΦΑΝΟΥΣ ΚΑΜΑΡΑΣΗ οἰκοδομηθέντα ἐν τῇ κατὰ Παλαιστίνην εὐαγεστάτῃ καὶ πανσέπτῳ Μονῇ τοῦ Ἁγίου Σάββα.

Ἐν Ἱερουσαλὴμ, τῇ 24 Σεπτεμβρ. **1858.**

Πρὶν μὲν ἀμύμων Σάββας ἐπήξατο τήν δ᾽ ἐν ἐρήμῳ
Ἱμερτὴν καλιὴν ὄρνισιν οὐρανίοις·
Νῦν δ᾽ αὖ Θειοφάνης Καμαράσης πήγνυσιν ἄλλην
Μέσῃ τῇ προτέρῃ ἐν καλιῇ καλίην.
Στῆ, ξένε, καὶ θαύμαζε· καὶ εἰ θέμις ἔνδοθι μίμνε,
Κεῖνο μόνον νοέων, τίς τινα χῶρον ἔχεις.

ΝΘʹ.

Ἕτερον.

Τοῦτον Θειοφάνης Καμαράσης δείματο πρόφρων
Πάρ᾽ χαρίεντι νεῷ ἱμερόεντα δόμον.
Ξείνους ἀμψύχειν, τοὶ ἕρκεος ἐντὸς ἰχνεύντες,
Εὐσεβέουσιν ὁμῶς Σαββαΐτῃσι φίλοις.
Ἀμπαύου, ξεῖν᾽, ὧδε, ἐπὴν κεκάμῃς λιτανεύων,
Ἠνεκέων εὐχῶν γοῖ ἀποκλεπτόμενος.
Εἰ δέ σε θεῖος ἔρως κραδίην μειλίγμασι δήξει,
Εἴσεαι οἷον ἔφυ ἡσυχίη θεόφρων.

Ξ'.

Εἰς τὸν ἀοίδιμον **ΙΩΑΝΝΗΝ Φ. ΠΑΤΡΟΚΛΟΝ,**
Σχολάρχην τῆς ἐν Σταυροδρομίῳ Σχολῆς.

1858, *Δεκεμβρίου* 4.

Πότμον τλησιπόνοιο Ἰωάννου Πατροκλῆος,
Αἱ Βυζαντιάδες Μοῦσαι ἔκλαυσαν ἄδην·
Κεῖναι γάρ μιν ἔθρεψαν ἤθεσιν οἷσι λαβοῦσαι
Καὶ δόσαν Ἑλλάδι φῶς ἔμμεναι ἠδὲ κράτος.
Τῇ δ' ἆρ' ἔμελλεν ἄχος τόδ' ἔσεσθαι λυγρὸν, ὁρώσῃ
Οἰχόμενον κείνου χεῦμα διδασκαλίης,
Ὦ φθόνε πληξέλλην, τί νυ τόσσον ὀδύσσαο ἥμιν;
Κεῖται Πατροκλέης ὁπλότερος Λογάδου!

Ταῦτά τοι, ὦ Πατρόκλεις, μνημήϊα γέγραφε φίλτρον
Τύμβῳ ἐπισπένδων δάκρυα Ταντολίδης.

ΞΑ'.

Εἰς τὸν **ΙΔΙΟΝ ΠΑΤΕΡΑ,** *κείμενον ἐν Κίῳ.*

1858, *Δεκεμβρ.* 10.

Τίς τ' ἆρ' ὑπὸ πλακὶ τῇδ' εὐέλπιδι κέκρυφε πότμον;
Ἀνδρέας ἐκ Κρήτης Ταντολίδης ὁ γέρων.

ΞΒ'.

Ἕτερον.

Ἑπτ' ἐτέων δεκάδας τολυπεύσας Ἀνδρέας εὕδει.
Κρήτης ἐκγεγαὼς, Ταντολιδῶν γενέτας.

ΞΓ'.

Ἕτερον.

Ἀνδρέᾳ ἐκ Κρήτης γεννήτορι Ταντaλιδάων.

ΞΔ'.

Ἐπίγραμμα εἰς τὸν ἀοίδιμον **ΓΕΩΡΓΙΟΝ ΜΑΥΡΟΚΟΡΔΑΤΟΝ,**
Καθηγητὴν ἐν τῷ Ἑλληνικῷ Πανεπιστημίῳ.

1858, *Δεκεμβρ.* 15.

Πατρὸς Ἀλεξάνδροιο Γεώργιον υἱὸν ἄριστον,
Μαυρωκορδατικοῦ ἀκρέμονα στελέχους,
Θειοτέρων, βροτέων δ' ἡγήτορα θεσμοσυνάων
Ἐξ Ἀκαδημιόθεν πᾶσι διδασκομένων,
Πενθεῖ Παλλάδος ἄστυ ὑπὸ στέρνοις νεκρὸν ἴσχον,
Οὔποτε λησόμενον τῶν μυρίων καμάτων,
Τοῖσι πάτραν κύδαινεν, ἐρύετο δ' υἷας Ἀχαιῶν,
Δυσφροσύνης ὀλοῆς καπνὸν ἀπεκσοβέων.
Τοῖός τοι, Ἑλλὰς, χαμαὶ ἤριπε πύργος ἐρυμνὸς,
Ἠϊθέων προμαχὼν, πρεσβυτέρων στέφανος.

Χειλέων Ταντaλίδαο πανυστάτιον τόδ' ἄημα
Δάκρυσι κλυζομένων φιλτάτῳ ἀμφὶ νέκει.

ΞΕ'.

Εἰς τὸν ἀοίδιμον Πατριάρχην
ΚΩΝΣΤΑΝΤΙΟΝ, *τὸν ἀπὸ* **ΣΙΝΑΙΟΥ,** *τελευτήσαντα*
τῇ ε' Ἰανουαρίου ͵αωνθ', καὶ κείμενον ἐν τῇ Ζωοδόχῳ Πηγῇ.

Τῷ δε σοφοῦ Πατρὸς Κωνσταντίου ἀρχιεράρχου
Σήματι, ὡς βωμῷ, εὔχεο θεὶς τὸ γόνυ.

ΞϚʹ.

Εἰς τὸν αὐτόν.

Ἐν Πατριάρχαις εἷς Κωνστάντιος αὐτὸς ἐκεῖνος,
Ἡ Κωνσταντινιὰς ζῶσα καὶ ἀθανάτη,
Ἔμψυχος λαλέουσα νοήμοσι βιβλιοθήκη.
Φώτιος ἐν μελέταις, Γεννάδιός τε νέος,
Ἐνθάδε γηραλέην στεφανηφόρον ἤμυσε κόρσην,
Φαίδιμος ἐκ βιότου, φαίδιμος ἐκ σοφίης.
Αἰθέριος δ᾽ ἀναβὰς ἡγήσεται αὖθις ἐν ὄρφνῃ,
Ὥς τε πυρὸς στῦλος, τάξιος ἡμετέρης,
Ἀτραπὸν οὐρανίην πολυπλάγκτοις ἄμμι φαείνων,
Ἱλάσκων τε Θεὸν, ῥυόμενός τε Πάτραν.

ΞΖʹ.

Εἰς τὸν αὐτόν.

Τοῦ Πατριάρχου εὐκλεοῦς Κωνσταντίου
Σκῆνος μὲν ἐν γῇ τῇδε νῦν ἀμπαύεται,
Πηγῆς δὲ Ναὸς, οὗ δομήτωρ ἦν ὅδε,
Τυμβῆρές οἱ ἔστηκε σῆμα κειμένῳ.
Τοῦ δὲ κλέους ἔπαυλις ἔσται πᾶς τόπος
Σινᾶ μεσηγὺς ἠδὲ ῥωσσίδος χθονός.
Καὶ κλαύσεται μὲν πᾶς πένης τὸν προστάτην,
Μοῦσαί τε πενθήσουσι τὸν μουσηγέτην,
Φρούραρχον αὖτε πίστεως Ἐκκλησία.
Αὐτὸς δὲ ἐν οὐρανοῖσι κρεισσόνων μέτα
Πόνων ἀμοιβὰς πρὸς Θεοῦ κομίζεται.

ΞΗ'.

Εἰς τὸν αὐτόν.

Ὁρᾷς τὸν μέγαν τῆς Πηγῆς ναὸν, ὦ ξένε, τοῦτον;
Ὁ τῇ δε κατακείμενος ἀνείγηρε τοιοῦτον.
Βλέπεις ἐκεῖ τὴν πολιὰν, τὴν βασιλίδα πόλιν;
Ταύτης βλαστὸς, ταύτης Ποιμὴν, ταύτην ἱστόρησ' ὅλην.
Ἀκούεις ὄρος τὸ Σινᾶ; αὐτὸς ἦν ὁ Σιναίου
Λαμπρὸς Ἀρχιεπίσκοπος, ἀρχαϊκὸς ἀρχαίου.
Εἷς Ἕλλην; εἷς ὀρθόδοξος; αὐτὸς, αὐτὸς βεβαίως
Τῆς πίστεως ἦν ἔρεισμα, τοῦ Γένους ἡμῶν κλέος.
Τιμᾷς σοφίαν, ἀρετήν; τὴν μνήμην σέβου θείου,
Σοφοῦ καὶ ἐλεήμονος Πατρὸς, — τοῦ Κωνσταντίου.
Τοιούτοις κόσμοις ἑαυτὸν τυμβεύσας εἰς αἰῶνας
Ὁ Πατριάρχης, τῆς ζωῆς εἰσέδυ τοὺς πυλῶνας.

ΞΘ'.

Εἰς τὸν αὐτόν.

Σοῦ παιδὸς οἵ δε πενθίμου στόνοι, Πάτερ·
Μέλος τόδ' ἀντίμολπον, ὧν γ' ἐμοῦ πάρος
Ἤκουες ἑστὼς ἐν θρόνῳ Χρυσοστόμου.
Νῦν δὲ στένω σε καὶ λιβάς τις ὡς πέτρα
Θερμοῖσι τέγγω δάκρυσι ξεστὸν λίθον,
Ὄφλημα πικρὸν καρδίας εὐγνώμονος.
Σὲ δ' οὔ τι σαίνει ὀξέων κωκυμάτων
Φθογγὴ βεβῶτα θανασίμῳ πεσήματι.
Τοιγὰρ διπλᾶ σε μύρομαι, ὦ Δέσποτα,
Ἄστεκτον ἐν στέρνοισι τὴν φλόγα τρέφων
Φίλτρων παλαιῶν, οἷσι μ' ἔθρεψάς ποτε,
Κ' ἀξωμμάτωσας σοῖς λόγοις ἐμὰς φρένας·
Κ' ὀφθαλμὸς αὖθις ἦσθα πωρωθέντι μοι.

Τί ταῦτα θρηνῶ κ' ἀποδύρομαι μάτην;
Πάντ' οἴχεται νῦν, πάντα μοι ζόφος βαθύς.
Πατρὸς δ' ἄτερθεν ἐν σκότῳ ἠλάσκομεν.
Σὺ γὰρ κεκευθὼς ἐν τάφῳ, τοὐμὸν φάος,
Κεῖσαι σιωπῶν, καίπερ ὢν πολλῶν ἴδρις,
Ὡς ἐκλελιπὸς τῶν σοφῶν χρηστήριον.
Ἀλλ' εἴτις αἴσθησίς γε τοῖς νέρθε βροτοῖς,
Ψυχῶν τε κῆδος τοῖς ἄνω τῶν ἐνθάδε,
Ἄγ', ὦ Πάτραρχον πᾶσι τιμῆεν κάρα,
Βυζαντίων μὲν χαρμονὴ, Κωνστάντιε,
Ἐσθλὸν δὲ σέμνωμ' εὐσεβοῦς οἰκουμένης,
Παραστατῶν νῦν τοῖς Θεοῦ θρόνοις πέλας,
Ψυχῆς πρὸς αὐτὸν κάμψον ἱκτῆρ' αὐχένα
Ὑπέρ τε πόλεως τῆς δε, τοῦ λεὼ θ' ἅμα.
Εὖξαι δὲ κἀμοὶ (σὸς γὰρ υἱὸς τυγχάνω·)
Λύσιν τιν' εὑρεῖν κ' ἀνακούφισιν πόθων,
Θᾶττον μολόντι, ἔνθα δὴ ναίεις ἄνω.
Ὡς δ' ἐκ βλέποντος τυφλὸς, αὔτως ἐκ τυφλοῦ
Ψυχῆς καθαρμοῖς τῶν δεδορκότων μέτα,
Αὐτοῦ γενοίμην νοῦς ὁρῶν τὸν Δεσπότην.

Ο'.

Εἰς τὸν ἐν ΝΙΚΟΜΗΔΕΙΑι ΝΑΟΝ *τοῦ ἁγίου, ἐνδόξου, μεγαλομάρτυρος καὶ ἰαματικοῦ* ΠΑΝΤΕΛΕΗΜΟΝΟΣ *ἐν ᾧ καὶ ὁ πάνσεπτος τάφος τοῦ Ἁγίου.*

1859, *Σεπτεμβρίου* 16.

Ὁ ναὸς οὗτος, πρέσβιστον τῶν πάλαι μαρτυρίων,
Ψυχῆς καὶ σώματος κοινὸν ἠνεῳκτ' ἰατρεῖον.
Πηγὴν γὰρ ἔχει βλύζουσαν ἰάσεις ἀναργύρως
Τὸν χοῦν τὸν αἱματόφυρτον τοῦ ζῶντος ἰατῆρος.
Τοῦτον εἰς κάλλος καινουργὲς ἐν πεδαρσίοις θόλοις,

Ἡ πολυμάρτυς ἤγειρε καὶ φιλομάρτυς πόλις,
Μιᾷ βουλῇ, πολλῇ χειρὶ, καὶ συμπροθυμουμένη,
Τῷ φιλοπόλιδι αὐτῆς καὶ θερμουργῷ Ποιμένι.
Ἀλλ', ὦ ναοῦχε πάνσεπτε, σοφὲ Παντελεῆμον,
Προσδέχου τὴν εὐλάβειαν καὶ φρούρει τὸν σὸν δῆμον.

ΟΑ'.

Εἰς τὸν ἐν αὐτῷ ἱερὸν ΤΑΦΟΝ τοῦ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ.

Τῷδ' ἐνὶ τιμήεντι τάφῳ ποτὲ φαίδιμος ἥρως
Αἵματι φοινιχθεὶς ἀμπαύετο, Παντελεήμων.
Νῦν δ' αὖ γυῖα μὲν οὐκέτ' ἀκηράσια ἔνδοθι μίμνει·
Ἀλλὰ καὶ ὣς χαρίτων οὐ δεύεται οἶκος ὁ κείνου.

ΟΒ'.

Εἰς τὸν ἰατρὸν ΙΩΑΝΝΗΝ ΠΑΛΑΙΟΛΟΓΟΝ.

1859, Αὐγούστου 4.

Εἰρήνη τῷ καθεύδοντι! ἐνθάδε, συμπολῖται,
Ὁ ἄριστος ἐν Ἰατροῖς Παλαιολόγος κεῖται·
Γινώσκετε τὸν λειτουργὸν τῆς θείας ἐπιστήμης
Ἐξ ὧν ἐδίδασκεν, ἐξ ὧν ἰᾶτο, ἐκ τῆς φήμης,
Πῶς τούτους μὲν ἐφώτιζεν, ἐκείνοις δ' ἐβοήθει
Ἐν κρίσει ἀνατομικῇ, ἐν φιλανθρώπῳ ἤθει,
Συνάπτων ὑπὸ σώματος καὶ ἤθους εὐρυθμίαν
Ἕλληνος φρένα κ' εὐσεβοῦς Χριστιανοῦ καρδίαν.
Πλὴν κεῖται, καὶ ὁ ἰατὴρ ποτὲ τῶν ἀλγηδόνων,
Νῦν ταῖς ψυχαῖς ἀνίατον προλείπει πένθους πόνον.

Ὦ, δέξαι, φίλον κάρηνον, τόδ' ἄνθος νεκρικὸν
Ἀπὸ χειρῶν τῷ τάφῳ σου ῥανθὲν ἐρωτικῶν.

"Ἔκδος τὰ ἐπιτύμβια„ μοὶ ἔλεγες πρατοῦ·
Ἐκδίδωμι· ἀλλ᾽ ἐν αὐτοῖς ἰδοὺ καὶ τὸ σαυτοῦ.
Μήποτε χρέος ὤφειλον τοσοῦτον ἀλγεινόν!
᾽Αλλ᾽ ἐγὼ ζῶν ἐβράδυνα, σὺ δ᾽ ἔσπευσας θανών.

ΟΓ΄.

Εἰς τὸν ἀείμνηστον Καθηγητὴν τῆς φιλοσοφίας
ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΕΥΘΥΒΟΥΛΗΝ.

1859, Σεπτεμβρ. 17.

᾽Ενθάδε Κωνσταντῖνον ἔχει γαῖ᾽ Εὐθυβούλην
Τὸν πολὺν ἐν σοφίῃ καὶ μέγαν καμάτοις·
Ἑλλὰς ὑμνήσει βουλέων χάριν εὔφρονος ἀνδρὸς,
Ὅσσαι τοῦδ᾽ ἀνέβαν κρατὸς ἀπ᾽ ἀθανάτου.
Πάγχι γὰρ ἀτρεχίης τέκμωρ διζύμενος εὑρεῖν
Αὐτὸς ἀτεκμάρτων ἴχνεσι μίκτο λόγων
Εἵως ὁ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα· αἶψα δ᾽ ἀερθεὶς,
Ἔπτατο οὗ ποθέεσκ᾽· ἀτρεκίη γὰρ ἄνω.

ΟΔ΄.

Εἰς τὸν αὐτόν.

Οὐδ᾽ Εὐθυβούλην δέξεται λήθης βυθὸς,
Ἕν᾽ ἄνδρα τόν δ᾽ ἄριστον Ἑλλήνων, ὅσοις
Μέλησε Μουσῶν ἐν πόλει Βυζαντίων.
Κείνου τὰ κλείν᾽ ἄεθλα τῶν διδαγμάτων,
Κείνου τὰ δόγμαθ᾽, οἱ λόγοι, τὰ βιβλία,
᾽Εν οἷς ὁ σώφρων τῆς ἀληθείας ἔρως·
Κείνῳ λέγοντι ἓν τόδ᾽ ἐσπουδάζετο,
Παῖδας πατρῴων μὴ ᾽πολείπεσθαι νόμων.
Τοιούς δε θνήσκειν ἄνδρας, εἴτις οἴεται,
Ὅδ᾽ ἐστι δῆλος τεθνεὼς οὐκ εἰδέναι.

ΟΕ΄.

Εἰς τὸν αὐτόν.

Εἰς τὴν νέκρωσιν τοῦ βίου πνεῦμα ἔσπευδες ζωῆς,
Εὐθυβούλη, ἐμφυσῆσαι·
Πλὴν μετὰ τῆς τελευταίας συνεξέπνευσας πνοῆς
Τὴν σπουδὴν, καὶ ἄπνους κεῖσαι.
Ἂν τῆς γνώσεως τὸ ξύλον, ταὐτὸ πταῖσμα καὶ ποινὴ
Τῆς λαιμάργου διανοίας,
Ἤδυνεν ἡ ὠδινέ σε ἐν τῇ γῇ τῇ σκοτεινῇ
Τῆς ἀλύτου ἀπορίας,
Ὑπὸ τὴν σκιὰν τοῦ ξύλου τῆς ζωῆς νῦν ἐντρυφῶν,
Τὴν ἀλήθειαν θεώρει,
Καὶ σοφὸς σαφῶς γινώσκων, ἀλλ' οὐχὶ φιλοσοφῶν,
Περὶ μηδενὸς ἀπόρει.

Κλύεις ἰαχὴν λυγρῶν μελέων;
Ξυνίεις αὐδὴν δακρυσίστακτον
Μογερῶν στομάτων ἀπολειβομένην;
Οἴ, 'γὼ τάδε σοι, φίλ' ἑταῖρε, πικρὰν
Πυμάτην τε δίδωμι χάριν φθιμένῳ,
Τύμβον περὶ σὸν τυφλῷ μέλεος
Ποδὶ χηρεύων κλιτύσι Χάλκης
Τῆς ἀμφιρύτου Μουσῶν θ' ἱερᾶς.
Ἀλλ' ὢ σιγῆς τῆς σέθεν οἰκτρᾶς!
Οὐδὲν ἀμείβῃ μ' ἔπος, ἀλλὰ πεσὼν
Κεῖσαι μεμυκὼς εὔλαλα χείλη.
Φεῦ! ξυμφυΐας τῆς οἰχομένης,
Χρονίων τ' ὀάρων λεσχῶν θ' ὁσίων·
Καὶ τῶν μυρίων, οὓς ἀμφότεροι
Ἔτλημεν ὁμῶς, καμάτων φωνῆς

Πέρι καὶ πίστιος ὀρθῆς Πατέρων,
Ζήλῳ γεραροῦ πατρὸς Λογάδου!
Ἀλλὰ σὺ μὲν δὴ, φίλος, ἀμπαύῃ,
Πηγὴν καταδὺς ἀπλέτου σοφίας·
Ἐμὲ δ' ἡμίτομον προλέλοιπας, γῆς
Ἔπι πλαζόμενον, νέκυν ἐν ζωοῖς.
Ὦ φίλτατε, χαῖρ' Εὐθυβούλῃ,
Φαιδρὰν ναίων ἴτυν εἰς ἄστρων
Σὺν τοῖς ἀγαθοῖς καὶ εὐόρκοις.
Χαῖρ'· ἔπος ὕστατον αὐδᾷ τόδε σοι
Μοῦσα τλάμων ἡ Ταντaλίδου.

Oϛ'.

Εἰς ΚΥΡΑΡΗΝΗΝ ΧΡΥΣΟΧΟΟΥ,
κειμένην ἐν Ἀδριανουπόλει.

1859, *Νοεμβρ.* 25.

Θάνατος ἄωρος τὴν Κυραρήνην,
Ἐκ Τεσσαράκοντα Ἐκκλησιῶν,
Εἰς ταύτην ἔστρωσε νεκρὰν τὴν κλίνην
Ἣ ζῶσαν ἔπεμψε πρὸς τὸν Θεόν.
Παρθένος, σύζυγος, μήτηρ, διῆλθεν
Εἰκοσιτέσσαρα ἔτη ζωῆς,
Δύο δὲ φίλτατα λιποῦσ' ἀπῆλθεν
Ἐκ γῆς ἡ στίλβουσα χρυσοχοΐς.

ΠΡΟΣΘΗΚΑΙ.

Ὁ Διανομεὺς τῆς **ΗΜΕΡΑΣ**, *πρὸς τοὺς Κ. Κ. Συνδρομητάς του.*

Τῇ α' τοῦ ἔτους 1859.

Πάλιν ἔλαμψ' ἡ ἡμέρα τοῦ ἐνιαυτοῦ ἡ Πρώτη·
Εἰς τὴν τόσην αὐτῆς λάμψιν οὐδεὶς, Κύριοι, ὑπνώττει·
Ἔρχομαι τὴν ταπεινήν μου νὰ σᾶς εἴπω Καλημέραν,
Κ' ἐπὶ χεῖρας νὰ σᾶς δώσω τὴν καλὴν αὐτὴν Ἡμέραν,
Ἐπευχόμενος τὸ ἔτος εὐτυχὲς νὰ σᾶς παρέξῃ,
Νὰ σᾶς λάμψῃ, νὰ σᾶς φέξῃ.

Καθ' ἡμέραν τὴν Ἡμέραν σᾶς προσφέρω μὲ τὰ νέα,
Ἤδη κ' ἐμαυτὸν σᾶς φέρω τὸν αὐτῆς Διανομέα.
Ἀντὶ τόσων Ἡμερῶν μου εἶναι δίκαιον βεβαίως
Μίαν παρ' ὑμῶν ἡμέραν ν' ἀπολαύσω ἀμοιβαίως.
Πᾶσα ἄλλη τ' ἀγαθά της ἐφ' ὑμᾶς ἂς ἐπιβρέξῃ,
Δι' ἐμὲ αὐτὴ ἂς φέξῃ.

Ἐπαινῶ τὴν προθυμίαν μεθ' ἧς θέλετε ἐγκαίρως
Τὴν Ἡμέραν νὰ προφθάνω εἰς ἑνὸς ἑκάστου μέρος.
Διὰ τοῦτο μὲ τὴν γλῶσσαν κρεμαμένην περιτρέχω,
Καὶ τὴν χεῖρά μου ἑτοίμην εἰς τὴν ἔφεσίν σας ἔχω·
Ἀλλ' εἶν' ἔγκαιρον ἐπίσης κάτι σήμερον νὰ τρέξῃ,
Κ' εἰς τὴν χεῖρά μου νὰ φέξῃ.

Τί ζητεῖτε; ἀγγελίας θετικὰς καὶ νεωτέρας;
Ἰδοὺ, Κύριοι, τὸ φύλλον ὅλον πλῆρες τῆς Ἡμέρας·
Ἄρθρα λίαν οὐσιώδη, τηλεγραφικαὶ εἰδήσεις
Καὶ Εὐρώπης καὶ Ἀσίας καὶ Ἀμερικῆς ἐπίσης.
Τί ζητῶ; ἰδοὺ τὸ λέγω ἐν μιᾷ καὶ μόνῃ λέξει·
Ἡ ἡμέρ' αὐτὴ νὰ φέξῃ.

Ἡ ἀποστολὴ τοῦ Γλάδστων τάχα τί θ' ἀποτελέσει;
Ἀρά γε τοὺς ἀδελφούς μας θὰ τοὺς λύσῃ; θὰ τοὺς δέσῃ;
Τὸ Σουὲζ δὲ ὁ Λεσέψης θὰ τὸ κόψῃ; θὰ τὸ ῥάψῃ;
Ἡ ἡμέρα θὰ τὸ δείξῃ, κ' ἡ Ἡμέρα θὰ τὸ γράψῃ.
Ὁ καθεὶς τὰ σχέδιά του· καὶ κανεὶς ἂς μή με ψέξῃ,
Ἂν κ' ἐγὼ ζητῶ νὰ φέξῃ.

Ἐκοιμήθη τῶν γενναίων Μαυροβουνιωτῶν ὁ οἶστρος·
Ἀλλ' οἱ Δᾶκες; ἀλλ' οἱ Σέρβοι; ἀλλ' ὁ παγωμένος Ἴστρος;
Καὶ τὰ Πατριαρχικά μας, κ' ἡ Συνέλευσις τοῦ Γένους,
Ἡ τοὺς ἐκλογεῖς ζητοῦσα καὶ τοὺς ἐκλεχθησομένους;
Κύριοι, θὰ προσκυνήσω, ὅστις ὅντινα ἐκλέξῃ,
Κ' ὅστις μάλιστα μὲ φέξῃ.

Εἶναι ἥμερος συντάκτης ὁ Συντάκτης τῆς Ἡμέρας,
Κ' ἡ γραφίς του ἡμερώνει τὰς ψυχὰς τὰς ὑμετέρας·
Κ' ὁ Διανομεὺς ὑπάρχων διαθέσεως ὁμοίας,
Τὴν ἡμέραν θέλει ταύτην ὡς ἡμέραν εὐθυμίας,
Μετὰ τῶν συνδρομητῶν του καὶ νὰ φάγῃ καὶ νὰ παίξῃ.
Καὶ λοιπόν; — λοιπὸν ἂς φέξῃ.

Πλὴν δὲν εἴμεθα καὶ πάντῃ ἄπληστοι, φάγοι καὶ παῖκται,
Οὐδὲ, ἄπαγ'! εἰς αἰτήσεις ἀναιδεῖς καὶ πλεονέκται·
Πρέπει μόνον τὴν ἡμέραν νὰ τιμήσωμεν, διότι

Δι' ἐμὲ εἶναι ἡ Μόνη, διὰ σᾶς δὲ εἶν' ἡ Πρώτη.
Τὸ ποσὸν δὲ μᾶς συγχίζει· πεντακόσια ἢ πέντ' ἕξη,
"Ο,τι βρέξη κ' ὅσον φέξη.

Εἴθε δὲ τῶν ἡμερῶν μας ὁ Διανομεὺς ὁ μέγας
Ἄνωθεν ὑμῶν τὰς πράξεις νὰ φωτίζῃ καὶ τὰς στέγας,
Καὶ τοὺς θησαυροὺς ἐντός σας τῶν χαρίτων του ν' ἀνοίξῃ,
Καὶ υἱοὺς φωτὸς κ' ἡμέρας ὅλους νὰ σᾶς ἀναδείξῃ·
Καὶ καθεὶς ὡς ἐν ἡμέρᾳ τὴν ζωὴν αὐτὴν νὰ τρέξῃ,
Ἕως οὗ ἡ ἄλλη φέξῃ.



Ο ΔΙΑΝΟΜΕΥΣ ΤΗΣ ΗΜΕΡΑΣ

πρὸς τοὺς ΚΚ. Συνδρομητὰς αὐτοῦ.

Τῇ α' τοῦ ἔτους 1860.

Ὁ τῆς Ἡμέρας, Κύριοι, Διανομεὺς καὶ πάλιν
Ἐν τῷ ἰδιαιτέρῳ του παραρτηματιδίῳ
Σᾶς ἀναγγέλλει εἴδησιν σπουδαίαν καὶ μεγάλην,
Ὅτι τὰ φύλλα ἔγειναν σωστὰ πενῆντα δύο.

Ὁποῖον μάθημα καλόν! Ἡμέρα καὶ ἡμέρα,
Ἐφημερὶς κ' ἐφημερὶς, καὶ φύλλον μετὰ φύλλον,
Ἰδοὺ τὸ ἔτος! ἡ ζωὴ ἰδοὺ ἡ ἡμετέρα!
Γραμμαί τινες εἰς τὴν σειρὰν τῶν τοῦ Παντὸς ποικίλων.

Ὦ! ἴσως εἶναι ὀπτικὴ ἀπάτη μου τὸ τέρας,
Διότι αἱ ἡμέραι μου εἶν' αἱ ἐφημερίδες,
Ἀλλὰ τὸ Πᾶν μοι φαίνεται ἐφημερὶς ἡμέρας,
Καὶ τὰ καθέκαστα αὐτοῦ εἰδήσεων σελίδες.

Τί εἶναι ἡ πολύαστρος δημιουργία αὕτη;
—Ἐξ ἡμερῶν ἐφημερὶς, ἣν πάνσοφος ἐκδότης,
Ὁ Παλαιὸς τῶν ἡμερῶν, ἐν λογικῇ τοσαύτῃ,
Ἄνευ τινὸς συνδρομητοῦ ἐξέδωκεν ἐν πρώτοις.

Τί δὲ τῶν τέκνων τοῦ Ἀδὰμ τὰ ἔργα κ' αἱ ἡμέραι;
—Ἐφημεριδογραφικῆς ἀδολεσχίας ὕλη,
Εἰς τύπον περιοδικῶς κ' ἐκτάκτως ὁσημέραι
Ἐκδιδομένη, ἐν μορφῇ καὶ ἐν φωνῇ ποικίλῃ.

Ἀλλὰ κ' ἡ περισπούδαστος τοῦ βίου ματαιότης,
Αἱ ἀπολαύσεις, αἱ τρυφαὶ, οἱ πόθοι, αἱ ἐλπίδες,
Καὶ τὸ κενὸν δοξάριον, καὶ ἡ μεγαλειότης,
Εἶν' ἄλλο ἢ σολοικισμῶν μεσταὶ ἐφημερίδες;

Ἐν τούτοις (μὲ συμπάθειαν!) κ' ὑμῶν τῶν νεανίδων
Τὰ κάλλη καὶ οἱ ἔρωτες, τὸ πνεῦμα κ' ἡ νεότης,
Εἶν' ἔπεα πτερόεντα μικρῶν ἐφημερίδων,
Ὧν εἶν' ὁ Χρόνος βάρβαρος ἐκδότης καὶ προδότης.

Τέλος, (τὸ κάτω τῆς γραφῆς!) ὁ πλοῦτος, Κύριοί μου,
Εἶν' ἀληθὴς ἐφημερὶς ἀεὶ ἐκδιδομένη
Ἐπὶ ἀργύρου ἢ χρυσοῦ, ἢ κ' ἐπὶ χαρτοσήμου,
Ἥτις πολλοῖς σπούδαζεται, ὀλίγοις δ' ἀπομένει.

Ὦ! ταύτης ἤδη τῆς σοφῆς ὑμεῖς ἐφημερίδος
Ἐξ ἀμοιβῆς γενόμενοι διανομεῖς κ' ἐκδόται,
Καταξιώσατε κἀμὲ μιᾶς ἐπιφυλλίδος,
Καὶ "ὅση πέφυκέ, φησιν, ἡ προαίρεσις δότε!"



*

Ο ΔΙΑΝΟΜΕΥΣ ΤΗΣ ΠΑΝΔΩΡΑΣ

πρὸς τοὺς συνδρομητὰς αὐτοῦ.

Εἰς τὴν α' τοῦ ἔτους 1860.

Ἕκτην σήμερον δεκάδα κλείομεν ἐτῶν ποικίλων,
Καὶ τὸν ἀριθμὸν τοῦ ἔτους κατορθώσαμεν στρογγύλον·
Ἔτους, ὅπερ ἀπὸ ταύτης τῆς ἡμέρας, ὡς βαλβίδος
Πρώτης τοῦ δωδεκαμήνου καὶ τῆς δεκαετηρίδος,
Αἴσιον νὰ σᾶς ἀγγείλῃ
Ἡ φιλόκαλος Πανδώρα ἔρχετ' ἔνθους καὶ στωμύλη.

Ἂν συνέλθωμεν ἐκ ταύτης τῆς χρονίου ἀκηδίας,
Καὶ εἰλικρινὴς ἐξάψῃ πόθος φώτων τὰς καρδίας,
Καὶ τοὺς παῖδας τῶν Ἑλλήνων ἀναφλέξῃ Μουσῶν ἔρως,
Καὶ τῆς τριμεροῦς Ἑλλάδος καταλάβῃ ἅπαν μέρος
Ὁ τῆς ἐπιστήμης ζῆλος,
Ἡ φιλόμουσος Πανδώρα σᾶς συγχαίρει ἀριδήλως.

Ἂν οἱ πλούσιοι τὴν χάριν τοῦ Θεοῦ μὴ σπαταλῶσι,
Ἀλλὰ τὰ ὑπὲρ τὸ δέον εἰς τὸ δέον δαπανῶσι,
Ἔλαιον εἰς τὰς λαμπάδας δαψιλεύοντες τοῦ γένους,
Εἰς μουσεῖα, εἰς βιβλία, κ' εἰς λογίους τρυχομένους,
Ἐπ' αἰσίοις ἀνατέλλον
Ἡ φιλογενὴς Πανδώρα οἰωνίζεται τὸ μέλλον.

Ἂν παιδεύσωμεν τὸν Κλῆρον ἐν τῇ θείᾳ ἐπιστήμῃ
Πρὸς τὸν τύπον τοῦ Μεγάλου Βασιλείου, οὗ ἡ μνήμη,

Καὶ μορφώσωμεν ποιμένας λογικῶν Θεοῦ ποιμνίων,
Βίον ἔχοντας τὴν πίστιν καὶ κατήχησιν τὸν βίον,
Τὴν μεγάλην μας ἐλπίδα
Ἡ φιλόχριστος Πανδώρα προαγγέλλ' εἰς τὴν πατρίδα.

Τέλος, ἂν φιλαναγνῶσται εἰς τὸ ἔθνος πληθυνθῶσι,
Καὶ συνδρομηταὶ Πανδώρας ὅτι πλεῖστοι ἐγγραφῶσι,
Καὶ ἐν τῇ ἀρχῇ τοῦ ἔτους φιλοτίμως καὶ γενναίως
Ἀνταμείβωσι τοὺς κόπους τοῦ αὐτῆς διανομέως,
Ἄνευ συστολῆς τῶν ὤμων,
Ἡ εὐαίσθητος Πανδώρα ἔσται πρὸς αὐτοὺς εὐγνώμων.

ΤΕΛΟΣ.

ΠΙΝΑΞ
ΤΩΝ ΕΜΠΕΡΙΕΧΟΜΕΝΩΝ.

ΕΟΡΤΟΔΡΟΜΙΟΝ,
Η
ΩΔΑΙ ΕΙΣ ΤΙΝΑΣ ΑΓΙΑΣ ΕΟΡΤΑΣ.

ΠΟΙΚΙΛΑ.

Σελίς

ΧΥΔΑΙΚΑ.

ΠΡΟΣΘΗΚΗ.



ΠΑΡΟΡΑΜΑΤΑ.

Σελὶς 4, στίχ. 8, ἅπαξ γράφε ἅπας.
— 7, — 15, εἶδας γρ. εἶδες.
— 15, — 8, δέξεται γρ. τέξεται.
— 22, — 10, Ἄξιαι πομπαὶ γρ. Ἄξιοι πομποί.
— 25, — 6, ἵςατ' γρ. ἵπτατ'.
— 39, — 8, ἐκείνει γρ. ἐκίνει.
— 56, — 2, στηρίζων γρ. στηρίζειν.
— — — 14, φιλάτων γρ. φιλτάτων.
— 74, — 8, ἐκλίβων γρ. ἐκθλίβων.
— 83, — 7, δικάσας γρ. διχάσας.
— 99, — 12, τῆς Κ. Καραθ. γρ. τῆς Κ. Ζωῆς Καραθ.
— 100, — 3, Ζωῆς (πρόσθες) Καραθεοδωρῆ.
— 106, — 17, ἀτεχνεῖς γρ. ἀτεχνῶς.
— 117, — 15, ἐμοῦ γρ. ἐμοί.
— — — 21, τραφειδῆς γρ. τραπειδῆς.
— 121, — 17, χαιρεκάκου γρ. χαιρεκάκως.
— 122, — 24, λυττόντων γρ. λυττώντων.
— — — 26, ἄλλων γρ. ἄλλως.

Σελ. 123, ςίχ. 12, ἀρικυδέα, γρ. ἐρικυδέα.
— 124, — 14, τὸ γόνυ γρ. εἰς γόνυ.
— — — 23, προσφέρων γρ. προφέρων.
— — — 26, φυλάττων γρ. φυλάττω.
— 125, — 11, ἀντέκμαγμα γρ. αὐτέκμαγμα.
— 132, — 8, ἀστὴρ γρ. φωστήρ.
— 133, — 14, τὰ ταῦτα γρ. ταῦτα.
— 139, — 3, ἔπαλθον γρ. ἔπαθλον.
— — — 8, τῆς γλώσσης γρ. καὶ γλώσσης.
— 140, — 4, ἐπ' ἐλπίσι γρ. ἐν ἐλπίσι.
— 142, — 10, μετὰ σοφῆς γρ. μετοὺς σοφῆς.
— 144, — 32, Ο στέρν' γρ. Ω στέρν'.
— 145, — 3, μεληδόνων, γρ. μελεδόνων.
— 152, — 21, Καὶ τοῦ ἐσχάτου γρ. Καὶ νῦν ἐσχάτου.
— 156, — 28, καὶ ἀπὸ στοργῆς γρ. ὡς ἀπὸ στοργῆς.

Σελ. 158, στίχ. 7, γίαν γρ. γαίαν.
— 163, — 8, τιμίεσσαν — διαπορθμεύσει, γρ. τιμήεσσαν — διαπορθμεύσῃ.
— 165, — 7, Φλέγε δ' ἰοβοστρύχοιη γρ. Φλέγεται δ' ἰοβοστρύχοισι.
— 168, — 3, Ἀναστελῶ γρ. Ἀνα στηλῶ.
— 199, — 2, Μουραμπούτη γρ. Μαραμπούτη.
— 222, — 2, Τῷ κυρίῳ Κ.Μαυροκ. γρ. Τῷ κυρίῳ Γεωργίῳ Μαυροκορδάτῳ.
— 226, — 27, ἰδῆτε γρ. ἰδέτε.
— — — 30, 'πῆτε γρ. 'πέτε.
— 239, — 20, νὰ 'ψήσῃ; γρ. θὰ 'ψήσῃ;
— 241, — 14, ἄλλαις τρεῖς γρ. χίλιαις τρεῖς.
— 254, — 3, Ἡλγάϊσεν γρ. Ἠγλάϊσεν.
— 260, — 17, ἀπίκειται γρ. ἀπόκειται.
— 268, — 13, πολύκρατος γρ. πολυήρατος.
— 269, — 18, ἀδρανείης γρ. ἀδρανίης.
— — — 19, φίλοι τ' γρ. φίλοι θ'.
— 277, — 14, ἀκμαία, γρ. ἀκμαίου.
— 281, — 17, Ἀλλὰ πνοὴ γρ. Ἀλλ' ἡ πνοη.
— 283, — 7, ἐν Χάλ γρ. ἐν Χάλκῃ.
— 284, — 1, ἐνδημοῦσα γρ. ἐκδημοῦσα.
— 285, — 27, Αὐτί — φαίεσι, γρ. Αὐτὴ — φαέεσσι.
— 286, — 12, εἰκυσαέτης γρ. εἰκοσαέτις.

Σελ. 287, στίχ. 17, εὐσεβείης γρ. εὐσεβίης.
— — — 18, γαίης γρ. γέης.
— — — 21, Κεστεντηλίου γρ. Κεστεντιλίου.
— 288, — 9, ἀρετέσι γρ. ἀρεταῖσι.
— — — 11, Χάλκεος γρ. χάλκεος.
— 291, — 6, θῆρες — χῶρον (στίζε) θῆρες, — χῶρον.
— — — 9, οὐ γρ. οὔ.
— — — 12, εὐοχοῦ, γρ. εὐωχοῦ.
— — — 13, Ἴσχεο βῆμα, πέλας· (στίζε) Ἴσχεο· βῆμα πέλας.
— 292 — 21, φαενῆς Ἄγγελος εὐσοφίης· (διόρθε) ἠῦς ἄγγελος ἡμετέρης.
— 293, — 10, Ἀρίωνος γρ. Ἀρίονος.
— — — 12, σιωνίτις γρ. Σιωνῖτις.
— — — 23, ἀπολιμαίνονται, γρ. ἀπολυμαίνονται.
— 294, — 16, φυλλάκιον γρ. φυλάκιον.
— 295, — 17, ἐυΰσκιος γρ. ἐΰσκιος.
— 296, — 7, μακάρεσι γρ. μακάρεσσι.
— 297, — 6, ἀγηρέραται γρ. ἀγηγέραται.
— — — 7, σοφίας, γρ. σοφίης.
— 301, — 11, ἐλάσκων γρ. ἱλάσκων.
— 303, — 4, ἐπόνησσαν γρ ἐπόνησαν.
— 304, — 10, ἀγὸς γρ. ἀγός.
— — — 7, πότμῳ γρ. πότμω.
— 306, — 11, ἀπεκφύζης γρ. ἀπ' ἐκ φύζης.
— 307, — 2, τὸν Δ'. διόρθε τὸν ΣΤ' ἢ Ζ'.
— — — 14, ὃ κύδεϊ γαίει γρ. ὃ γαίει.
— — — 24, ἀτασθαλίης γρ. ἀτασθαλίης.

Σελ. 307, ςίχ. 27, ὡς γρ. ὧς.
— 309, — 23, τριφιλίτων, γρ. τριφιλήτων.
— 310, — 12, ἱερεὺς γρ. ἱρεὺς.
— — — 17, οοφίη γρ. οοφίῃ.
— 313, — 1, Εὔδεις γρ. Εὕδεις.
— — — 12, ὡς γρ. ὧς.
— — — 15, Ἥρει γρ. Ἥιρει.
— 314 — 17, δακρύεντι γρ. δακρυόεντι.
— 317, — 12, καλίην γρ. καλιήν.
— — — 13, Στῇ, γρ. Στῆ.
— — — 14, τινα γρ. τίνα.
— — — 19, Σαββαίτηδι γρ. Σαββαίτηοι.
— — — 21, γοῖ γρ. γυῖ'.

Σελ, 318, στίχ. 8, ἆρ' γρ. ἄρ'.
— — — 10, ἥμιν; γρ. ἧμιν.
— — — 16, ευέλπιδι γρ. εὐέλπιδα.
— 321. — 8, Εἶς Ἕλλην; γρ. Εἶς Ἕλλην;
— — — 27, πωρωθέντι γρ. πηρωθέντι.
— 322, — 6, ἐκλελιπὸς γρ. ἐκλελοιπὸς.
— 324, — 9, μέγαν καμάτοις· γρ. μέγαν ἐν καμάτοις.
— — — 12, ἀτρεχίης — διζύμενος γρ. ἀτρεκίης — διζήμενος.

